ISTITUTO DI STUDI BIZANTINI E NEOELLENICI
UNIVERSITÀ DI ROMA
CON IL CONCORSO DEL CONSIGLIO NAZIONALE DELLE RICERCHE

ANALECTA HYMNICA GRAECA

E CODICIBUS ERUTA ITALIAE INFERIORIS

IOSEPH SCHIRÒ
CONSILIO ET DUCTU EDITA

XII

CANONES AUGUSTI

ALCESTIS PROIOU
COLLEGIT ET INSTRUXIT



ROMA 1980

Tipografia S. Pio X - Via degli Etruschi, 7-9 — 00185 ROMA

MANU SCRIPTA E QUIBUS CARMINA SUMPTA SUNT

A *Matrit. gr. 4694* (*Tolet. 31-28, olim Barber. gr. 90*), s. XIII, membran., mm. 235 × 170, ff. 222, fine mutilus. Menaeum iunii, iulii, augusti. — Cfr. *AHG* X, 334s. notam 6; « Rivista di Studi Bizantini e Neoellenici » n.s. 8-9 (1971-1972), 235-240.

Cn *Crypt. Δ. α. XXIII*, s. XI, membran., mm. 240 × 180, ff. 230, a calligrapho carbonensi exaratus. Menaeum iunii, iulii, augusti. — Cfr. A. Rocchi, *Codices Cryptenses seu Abbatiae Cryptae Ferratae*, Tusculani 1883, 323-325.

Cp *Crypt. Δ. α. XII*, s. XI, membran., mm. 230 × 150, ff. 174, forte a Sophronio hieromonacho exaratus. Menaeum augusti. — Cfr. A. Rocchi, o.c., 310-312.

De *Crypt. Δ. δ. II*, s. XI-XII, membran., mm. 190 × 150, ff. 113, initio, fine et passim mediis foliis mutilus. Anthologium excipiens officia aliquot per annum decurrentium festorum. — Cfr. A. Rocchi, o.c., 389-390.

Φ *Meteor. Metamorph. 150*, s. XII, membran., mm. 160 × 215, ff. 234, initio et mediis foliis mutilus. Menaeum maii, iunii, iulii, augusti. — Cfr. N. Bees, *Les manuscrits des Météores*, I, Athènes 1967, 173-174.

Ha *Paris. Coislin. gr. 218*, s. XI (ff. 1-190) et s. XIII (ff. 191-231), membran., mm. 260 × 200, ff. 234. Menaeum augusti (ff. 1-190v). Menologium augusti (ff. 191-231v). — Cfr. R. Devreesse, *Catalogue des manuscrits grecs*, II. *Le fonds Coislin*, Paris 1945, 199-200.

Ja *Hierosol. Sabait. gr. 71*, s. XI, membran., mm. 242 × 182, ff. 182, initio mutilus. Menaeum iunii, iulii, augusti. — Cfr. A. Papadopoulos – Kerameus, Ἱεροσολυμιτικὴ Βιβλιοθήκη, II, ἐν Πετρουπόλει 1894, 128-129.

Mf *Mess. gr. 136* (ϱκδ'), s. XIII, membran., mm. 230 × 250, ff. 353, initio mutilus, a Macario scriptus. Anthologium ianuarii–augusti (ff. 10-321). Insiticia sunt ff. 1-9, 322-353. — Cfr. A. MANCINI, *Codices Graeci Monasterii Messanensis S. Salvatoris*, Messanae 1907, 198.

O *Mess. gr. 140* (ϱη'), s. XII, cum insiticiis foliis s. XIV, membran., mm. 260 × 210, ff. 198. Officia e dissipatis paginis alius voluminis Menaeorum. Menaeum iulii-augusti. — Cfr. A. MANCINI, o.c., 200-201.

Oa *Bodl. gr. Auct. E. 5. 2*, s. XIII, membran., mm. 335 × 235, ff. 1 + 159. Menaeum iunii, iulii, augusti, septembris. — Cfr. N. G. WILSON - D. I. STEFANOVIČ, *Manuscripts of Byzantine Chant in Oxford*, Oxford 1963, 7-9.

Pc *Paris. gr. 1568* (*Mazarin. - Reg. 2480*), s. XV, chartac., mm. 290 × 215, ff. 230. Menaeum augusti. — Cfr. H. OMONT, *Inventaire sommaire des manuscrits grecs de la Bibliothèque Nationale*, II, Paris 1888, 98.

Pv *Paris. gr. 1575* (*Mazarin. - Reg. 2475*), s. XII, membran., mm. 290 × 193, ff. 221. Menaeum martii-augusti. — Cfr. H. OMONT, o.c., II, Paris 1888, 98.

Px *Paris. gr. 245*, s. XIII, in membranis rescriptis, mm. 265 × 178, pp. 406. Menaeum iunii, iulii, augusti. — Cfr. H. OMONT, o.c., I, Paris 1886, 27.

Q *Paris. gr 13* (*Colbert. 121*), s. XIII, membran., mm. 390 × 290, ff. 478. Psalmi, Paracletica. Menaeum septembris–augusti cuius partim desunt maius et iunius. Officia in aquae benedictionem. Triodium. Epistulae Pauli. — Cfr. H. OMONT, o.c., I, Paris 1886, 3.

Sc *Paris. Suppl. gr. 152* (*Dominicains.*), s. XIII, membran., mm. 277 × 197, ff. 246. Menaeum martii-augusti. — Cfr. H. OMONT, o.c., III, Paris 1888, 225.

Σδ *Sinait. gr. 630*, s. XIII, membran., mm. 320 × 225, ff. 198. Menaeum iunii, iulii, augusti. — Cfr. V. GARDTHAUSEN, *Catalogus Codicum Graecorum Sinaiticorum*, Oxonii 1886, 146; M. KAMIL, *Catalogue of all manuscripts in the Monastery of St. Catharine on Mount Sinai*, Wiesbaden 1970, 97.

Σς *Sinait. gr. 639*, a. 1484 a Nicolao scriptus, chartac., mm. 290 × 220, ff. 471, fine mutilus. Menaeum martii-augusti. — Cfr. V. GARDTHAUSEN, o.c., 147-148; M. KAMIL, o.c., 97.

Σϱ *Sinait. gr. 631*, s. X-XI, membran., mm. 260 × 190, ff. 126. Menaeum augusti. — Cfr. V. GARDTHAUSEN, o.c., 146; M. KAMIL, o.c., 97.

Στ *Sinait. gr. 632*, s. XI-XII, membran., mm. 270 × 210, ff. 209. Menaeum augusti. — Cfr. V. GARDTHAUSEN, o.c., 146; M. KAMIL, o.c., 97.

Vb *Vat. gr. 2069* (*Basil. 108*), s. XVII, chartac., mm. 290 × 200. Calendarium liturgicum. Index sanctorum Calabriae italica lingua. Menaeum septembris–augusti. — Cfr. *Inventarium manu scriptum codicum Basilianorum a* J. C. SCARFÒ redactum (colloc. Sala Cons. Mss. n. 44); *BMGV*, p. 680.

Vc *Vat. gr. 2110* (*Basil. 149*), s. XI-XVI, ff. 39. Codex miscellaneus e fragmentis diversis, chartaceis sive membranaceis, constitutus. Fragmenta Menaeorum atque officiorum e libris liturgicis. In hoc volumine canon editur ex fragmento Anthologii mensis augusti (ff. 27-31, 32), s. XIII, membran., mm. 230 × 175. — Cfr. *Inventarium manu scriptum codicum Basilianorum...*, supra cit.; E. FOLLIERI, *Una miscellanea innografica del fondo basiliano: il codice Vatic. gr. 2110*, « Boll. Grott. » n.s. 15 (1961), 3-14; *BMGV*, p. 684.

Vw *Vat. gr. 787* (*olim 506*), s. XIV, membran., mm. 315 × 225, ff. 229. Menaeum maii-augusti. — Cfr. R. DEVREESSE, *Codices Vaticani Graeci*, III. *Codices 604-866*, in Bibliotheca Vaticana 1950, 304-305; *BMGV*, p. 488.

Wf *Vat. gr. 2292*, s. XVI, chartac., mm. 210 × 150, ff. 172, initio et fine mutilus. Menaeum augusti. — Cfr. *Inventarium manu scriptum codicum Graecorum Bibliothecae Vaticanae a* J. COZZA LUZI *confectum* (colloc. Sala Cons. Mss. n. 324); *BMGV*, p. 700.

Wl *Vat. gr. 2288*, s. XVI, chartac., mm. 300 × 208, ff. 173, initio et fine mutilus. Menaeum a die V iunii ad XXIX augusti. — Cfr. *Inventarium manu scriptum codicum Graecorum Bibliothecae Vaticanae...*, supra cit.

Wz *Vindob. Theol. gr. 33*, s. XIII, membran., mm. 330 × 225, ff. 186. Menaeum martii-augusti synaxariis et notis musicis instructum. Fragmentum hagiographicum. — Cfr. H. HUNGER – O. KRESTEN, *Katalog der griechischen Handschriften der Österreichischen Nationalbibliothek*, 3. 1 (*Cdd. Theologici 1-100*), Wien 1976, 57-64.

SIGLA

add.	= addit, addunt, addidi, additum, addita etc.
app. crit.	= apparatus criticus
cd.	= codex, codicis etc.
cdd.	= codices, codicum etc.
cfr.	= confer
chartac.	= chartaceus
col.	= columna, columnae
ed.	= edidit, editus, editum, edita, editio etc.
f.	= folium
ff.	= folia
gr.	= graecus, graeci
heirm.	= heirmus, heirmi etc.
ibid.	= ibidem
id.	= idem
inc.	= incipit, incipiens
membran.	= membranaceus
mm.	= millimetra
n.	= numerus
n.s.	= nova series
o.c.	= opus citatum
om.	= omittit, omittunt, omissum, omissa etc.
orat.	= oratio, orationem
p.	= pagina
pp.	= paginae
s.	= saeculi
S.	= Sanctus, Sancta etc.
SS.	= Sancti, Sanctae etc.
tit.	= titulus

v. = versus, versum, versu

vv. = versus, versuum, versibus

ἦχ. = ἦχος, ἤχου, ἦχον etc.

θεοτ. = θεοτοκίον, θεοτοκίου etc.

κάθ., καθ. = κάθισμα, καθίσματος etc.

κοντάκ., κοντακ. = κοντάκιον, κοντακίου etc.

οἶκ., οἴκ. = οἶκος, οἴκου, οἶκοι etc.

πλ. = πλάγιος, πλαγίου, πλάγιον

τριαδ. = τριαδικόν, τριαδικοῦ etc.

AA.SS. = *Acta Sanctorum*, Antverpiae/Bruxellis/Tongerloae/Parisiis 1643-1940.

AGIORITIS = Νικοδήμου Ἁγιορείτου, *Συναξαριστὴς τῶν δώδεκα μηνῶν τοῦ ἐνιαυτοῦ*, I-II, Ἀθήνησι 1868.

AHG = *Analecta Hymnica Graeca e codicibus eruta Italiae Inferioris*, IOSEPH SCHIRÒ *consilio et ductu edita*; I *Canones Septembris*, A. DEBIASI GONZATO *collegit et instruxit*, Roma 1966; III *Canones Novembris*, A. KOMINIS *collegit et instruxit*, Roma 1972; IV *Canones Decembris*, A. KOMINIS *collegit et instruxit*, Roma 1976; V *Canones Januarii*, A. PROIOU *collegit et instruxit*, Roma 1971; VI *Canones Februarii*, E. TOMADAKIS *collegit et instruxit*, Roma 1974; VII *Canones Martii*, E. TOMADAKIS, *collegit et instruxit*, Roma 1971; VIII *Canones Aprilis*, C. NIKAS *collegit et instruxit*, Roma 1970; IX *Canones Maii*, C. NIKAS *collegit et instruxit*, Roma 1973; X *Canones Iunii*, A. ACCONCIA LONGO *collegit et instruxit*, Roma 1972; XI *Canones Iulii*, A. ACCONCIA LONGO *collegit et instruxit*, Roma 1978.

AK = AMFILOKHIJ (SERGIEVSKIJ), arkhimandr., *Kondakarij v grečeskom podlinnikě XII-XIII v.po rukopisi Moskovskoj synodal'noj biblioteki N. 437...*, Moskva 1879.

Anal. Boll. = *Analecta Bollandiana*, Bruxelles.

Anth = *Ἀνθολόγιον...*, I-III (Sept.-Dec., Ian.-Apr., Mai.-Aug.), [Romae, curante PH. VITALI] 1738.

ARRANZ, *Le Typicon* = M. ARRANZ, *Le Typicon du monastère du Saint-Sauveur à Messine (Codex Mess. gr. 115. A.D. 1131)*, « Orientalia Christiana Analecta » 185, Roma 1969.

BECK, *Kirche* = H.-G. BECK, *Kirche und theologische Literatur im byzantinischen Reich*, « Handbuch der Altertumswissenschaft » XII 2,1 (= « Byzantinisches Handbuch » II 1), München 1959.

Bes = *Bessarione*. Pubblicazione periodica di studi orientali. Roma.

B.H.G.³ = *Bibliotheca Hagiographica Graeca*, IIIᵉ édition... par F. HALKIN, « Subsidia Hagiographica » 8a, Bruxelles 1957.

B.H.G.³A. = *Auctarium Bibliothecae Hagiographicae Graecae*, par F. HALKIN, « Subsidia Hagiographica » 47, Bruxelles 1969.

B.H.L. = *Bibliotheca Hagiographica Latina*, I-II, ediderunt SOCII BOLLANDIANI, « Subsidia Hagiographica » 6, Bruxellis 1898-1901.

B.H.L.S. = *Bibliotheca Hagiographica Latina*, ediderunt SOCII BOLLANDIANI, *Supplementi editio altera auctior*, « Subsidia Hagiographica » 12, Bruxellis 1911.

BMGV = P. CANART - V. PERI, *Sussidi bibliografici per i manoscritti greci della Biblioteca Vaticana*, « Studi e Testi » 261, Città del Vaticano 1970.

Boll. Grott. = *Bollettino della Badia Greca di Grottaferrata*, Grottaferrata.

B. SS. = *Bibliotheca Sanctorum*, I-XII, Romae 1961-1969.

BZ = *Byzantinische Zeitschrift*, Leipzig-München.

CPC = W. CHRIST – M. PARANIKAS, *Anthologia graeca carminum christianorum*, Lipsiae 1871.

DELEHAYE, *Les origines* = H. DELEHAYE, *Les origines du culte des martyrs*, 2e édition, « Subsidia Hagiographica » 20, Bruxelles 1933.

DELEHAYE, *Les passions des martyrs²* = H. DELEHAYE, *Les passions des martyrs et les genres littéraires*, 2e édition, « Subsidia Hagiographica » 13b, Bruxelles 1966.

DHGE = *Dictionnaire d'histoire et de géographie ecclésiastiques*, publié sous la direction de A. BAUDRILLART continué par A. DE MEYER – É. VAN CAUWENBERGH, Paris 1912 ss.

DOUKAKIS = K. Δουκάκη, *Μέγας Συναξαριστὴς πάντων τῶν ἁγίων*, I-XII (Ian.-Dec.). Ἐν Ἀθήναις 1889-1896.

DThC = *Dictionnaire de théologie catholique*, commencé sous la direction de A. VACANT, continué sous celle de E. MANGENOT, Paris 1909 ss.

EE = Σ. Εὐστρατιάδου, *Εἱρμολόγιον*, « Ἁγιορειτικὴ Βιβλιοθήκη » 9, Chennevières-sur-Marne 1932.

EO = *Échos d'Orient*, Constantinople-Paris/Bucarest.

EPh = *Ἐκκλησιαστικὸς Φάρος*. Ἐν Ἀλεξανδρείᾳ.

ER = Εὐχολόγιον τὸ μέγα ... Ἐν Ῥώμῃ 1873.

ETh = Σ. Εὐστρατιάδου, *Θεοτοκάριον*, I, « Ἁγιορειτικὴ Βιβλιοθήκη » 7-8, Chennevières-sur-Marne 1931.

EUSTRATIADIS, *Ἁγιολόγιον* = Σ. Εὐστρατιάδου, *Ἁγιολόγιον τῆς Ὀρθοδόξου Ἐκκλησίας*. Ἔκδοσις τῆς Ἀποστολικῆς Διακονίας τῆς Ἐκκλησίας τῆς Ἑλλάδος. [Ἀθῆναι 1961].

EUSTRATIADIS, *Ταμεῖον* = Σ. Εὐστρατιάδου, *Ταμεῖον Ἐκκλησιαστικῆς ποιήσεως*, « Ἐκκλησιαστικὸς Φάρος » 35 (1936) – 51 (1952).

EV = *Εὐχολόγιον τὸ μέγα*... Ἔκδοσις δευτέρα, σπουδῇ καὶ ἐπιστασίᾳ Σπυρίδωνος ἱερομονάχου Ζερβοῦ. Ἐν Βενετίᾳ, Φοῖνιξ, 1862.

GARITTE, *Le calendrier palestino-géorgien* = G. GARITTE, *Le calendrier palestino-géorgien du Sinaiticus 34 (Xe siècle)*, « Subsidia Hagiographica » 30, Bruxelles 1958.

HALKIN, *Un nouveau synax. byz.* = F. HALKIN, *Un nouveau synaxaire byzantin: le ms. Gr. lit. d. 6 de la Bibliothèque Bodléienne à Oxford*, in *Mélanges Henri Grégoire*, 2 « Annuaire de l'Institut de philologie et d'histoire orientales et slaves » 10 (1950) 307-328, ristampato in *Recherches et documents d'hagiographie byzantine*, « Subsidia Hagiographica » 51, 14-35.

HR = *Ὡρολόγιον τὸ μέγα*. Ἐν Ῥώμῃ 1876.

IHG = H. FOLLIERI, *Initia Hymnorum Ecclesiae Graecae*, I-V2, « Studi e Testi » 211-215 bis, Città del Vaticano 1960-1966.

JANIN, *La géographie eccl.* = R. JANIN, *La géographie ecclésiastique de l'empire byzantin*. Ie partie: *Le siège de Constantinople et le patriarcat œcuménique*. Tome III: *Les églises et les monastères*, 2e édition, Paris 1969.

LATYŠEV, *Menol.* = B. LATYŠEV, *Menologii anonymi Byzantini saeculi X quae supersunt*. I: *februarium et martium menses continens*, Petropoli 1911. II: *menses junïum, julium, augustum continens*, Petropoli 1912.

Martyr. Hieron. = H. DELEHAYE, *Commentarius perpetuus in Martyrologium Hieronymianum ad recensionem* H. QUENTIN, in *Acta Sanctorum Novembris*, II, pars 2a, Bruxellis 1931.

Martyr. Rom. = H. DELEHAYE ET SOCII, *Martyrologium Romanum ad formam editionis typicae, scholiis*

IN SS. DALMATUM, FAUSTUM ET ISAACIUM

Synaxarium, 865-866: Μνήμη τῶν ἁγίων πατέρων ἡμῶν Δαλμάτου, Φαύστου καὶ Ἰσαακίου. Οὗτος ὁ ἅγιος Δαλμάτος ἐστρατεύετο ἐν τῇ δευτέρᾳ σχολῇ ἐπὶ Θεοδοσίου τοῦ βασιλέως, ζῶν εὐσεβῶς καὶ θεαρέστως. Καὶ διὰ τὸν Θεὸν καταλιπὼν γυναῖκα καὶ τέκνα καὶ μόνον τὸν υἱὸν αὐτοῦ Φαῦστον μεθ' ἑαυτοῦ παραλαβὼν ἔρχεται πρὸς τὸν ὅσιον Ἰσαάκιον καὶ τὸν μοναστὴν ὑπελθὼν βίον, εἰς ὕψος ἀρετῶν μέγιστον ἤρθη. Ὁ δὲ θαυμάσιος οὗτος Ἰσαάκιος ἐκ σπαργάνων αὐτῶν τὴν ἔρημον ᾤκησεν, πᾶν εἶδος ἀρετῆς μετερχόμενος· ὅθεν καὶ ὁ λόγος αὐτῷ λαμπρότατος ἦν τῷ βίῳ κατακοσμούμενος. ... Οὗτος, μέλλων ἐκδημεῖν τῶν τῇδε, τὸν ὅσιον Δαλμάτον ἡγούμενον προεστήσατο, Ἀττικοῦ τότε τῆς Κωνσταντινουπόλεως πατριαρχοῦντος. Αὐτὸς δὲ πρότερον διαπρέψας ἐν τῇ ἀσκήσει καὶ ἐπὶ τεσσαράκοντα ἡμέραις ἀπόσιτος διαμείνας καὶ ἐν ἄλλαις τοσαύταις ἐν ἐκστάσει γεγονὼς καὶ τοῖς βασιλεῦσι καὶ συγκλήτῳ καὶ τοῖς κατ' Ἔφεσον συνελθοῦσι πατράσιν αἰδέσιμος φανείς, οἳ καὶ ἀρχιμανδρίτην αὐτὸν καὶ τοὺς μετ' αὐτὸν τῆς κατ' αὐτὸν μονῆς ἄρξοντας ἐψηφίσαντο μέχρις αἰῶνας ὑπάρχειν, ἐν Χριστῷ κοιμηθείς, κατατίθεται ἐν τῷ ἰδίῳ μοναστηρίῳ.

Paris. Coislin. gr. 218 = Ha, ff. 22-24
Mess. gr. 140 = O, ff. 95-96v

Ὁ κανών.

f. 22v || Ἦχος δ'.

ᾠδὴ α'. *Ἄσωμεν τῷ κυρίῳ*
τῷ παραδόξως βυθίσαντι

Ἐτήσιον ἐκτελοῦντες
ἐπὶ τῆς γῆς καὶ πανέορτον

heirm. α' EE 95, n. 134, Germani; hunc ineditum heirm. O tradit, qui autem metro stropharum minime aptatur:

Ἄσωμεν τῷ κυρίῳ
τῷ ποιήσαντι παράδοξα·
πάλαι γὰρ τὸν Φαραὼ
πανστρατὶ ἐν θαλάσσῃ ἐβύθισεν.

2 πανίερον O

καὶ σεβάσμιον μνήμην
Δαλμάτου τοῦ μάκαρος,
σπουδαίως νῦν συνδράμωμεν.

Κατέλιπες, θεοφόρε,
τὰ ἐπὶ γῆς θαυμαζόμενα
καὶ ἀεὶ μὴ παρόντα
κἀκεῖνα ἐπόθησας
τὰ ὄντα καὶ μὴ λείποντα.

Μυρίζουσιν ὥσπερ κρίνα
ἐν παραδείσῳ, μακάριε,
οἱ ἀτμοὶ τῶν καμάτων
τῶν σῶν καὶ εὐφραίνουσι
τοὺς πίστει ἑπομένους σοι.

Ἰσάκιον καὶ Δαλμάτον
καὶ Φαῦστον πάντες τιμήσωμεν
ὡς φωστῆρας φανέντας
καὶ τεῖχος ἀπόρθητον
κόσμου καὶ ἡμῶν τῶν πιστῶν.

θεοτ. * Τὸν Λόγον ἐν τῇ γαστρί σου
τὸν ὑπὲρ λόγον συνείληφας,
παναγία παρθένε,
καὶ τοῦτον ἐκύησας
εἰς πάντων σωτηρίαν βροτῶν.

4 μάκαρος] μάρτυρος O 8 παρόντα] μένοντα O 10 λίγοντα O 16-20 troparium om. O 21-25 θεοτ. Bes s. II 4 (1903) 343 24 ἀπεκύησας Bes 21-25 hoc aliud θεοτ. O praebet:

Σὲ τὴν χαρὰν τῶν ἀγγέλων,
τῶν ἀποστόλων τὸ καύχημα
καὶ τῶν ἁγίων μαρτύρων
στερέωμα ἄσειστον,
παρθένε, μακαρίζομεν. (μακαρίζωμεν cd.)

ANALECTA HYMNICA

IN SS. MACCABAEOS MARTYRES

Synaxarium, 859-860: Ἄθλησις τῶν ἁγίων Μακκαβαίων, Ἐλεαζάρου, Σολομωνίδος καὶ τῶν ἑπτὰ παίδων αὐτῆς... Οὗτοι, Ἀντιόχου τοῦ υἱοῦ Σελεύκου τὸ τῶν Ἑβραίων ὅλον ἔθνος ἐξελθόντος καὶ ἀνδραποδισαμένου καὶ ἀναγκάζοντος τὰ πάτρια ἀρνήσασθαι ἔθη καὶ ἀπογεύσασθαι ὑείων κρεῶν, ἠπείθησαν τῷ τυράννῳ, τῶν πατρῴων ἀντεχόμενοι νόμων, ὅ τε πρεσβύτης Ἐλεάζαρος, διδάσκαλος ὢν τοῦ νόμου καὶ ἐξηγητής, καὶ οἱ ἑπτὰ παῖδες ὑπ' αὐτῷ παιδευόμενοι. Καὶ ὁ μὲν πρεσβύτης προσδεθεὶς εἰς τοὐπίσω τὰς χεῖρας, τύπτεται σφοδρῶς καὶ κατὰ τῶν μυκτήρων δριμεῖς καὶ δυσώδεις χυμοὺς δεξάμενος καὶ εἰς πῦρ ἐμβληθεὶς καὶ εὐξάμενος τὸ ἑαυτοῦ αἷμα καὶ τὸν θάνατον ἀντὶ λύτρου προσδεχθῆναι ὑπὲρ τοῦ ἔθνους παντός, ἐξέπνευσεν. Οἱ δὲ γενναῖοι παῖδες ἕκαστος κατὰ τὴν τάξιν τῆς ἐν τῷ βίῳ προόδου ἀχθέντες καὶ ... ἀγωνισάμενοι καὶ ταῖς βασάνοις ἐναποθανόντες καὶ κύριον τὸν λογισμὸν καὶ αὐτοκράτορα δείξαντες τῶν παθῶν, τοὺς τῆς καρτερίας στεφάνους ἀνεδήσαντο. Μεθ' ὧν καὶ ἡ αὐτῶν μήτηρ Σολομωνὶς ἐπεὶ τελειωθέντας τούτους εἶδε, μὴ ὑπομείνασα χειρὸς ἀνθρωπίνης ἐπιβολήν, τῇ ἐξαφθείσῃ πυρκαϊᾷ ἑαυτὴν ἐπέρριψε καὶ οὕτως τῷ Θεῷ τὸ πνεῦμα παρέδωκε...

Vindob. theol. gr. 33	= Wz, ff.	144v-145v
Mess. gr. 136	= Mf, ff.	231v-238
Vat. gr. 787	= Vw, ff.	168-170

Ὁ κανὼν οὗ ἡ ἀκροστιχίς·
Τοὺς ἐν νόμῳ λάμψαντας ἀστέρας σέβω.
⟨Ἐν τοῖς θεοτοκίοις· Γεωργίου.⟩

Ἦχος δ'.

ᾠδὴ α'. *Χοροὶ Ἰσραὴλ ἀνίκμοις ποσὶν*

Τοὺς περιφανεῖς ἀστέρας ἑπτά,
τοὺς ἀθλητικῶς ἐν νόμῳ λάμψαντας, μέλψωμεν

---

tit. tantum Ὁ κανὼν Mf Vw, qui acrostichidem et nomen auctoris Γεωργίου in rubrica tacent; in margine autem sigla Θεοφάνους Vw profert; in Wz nomen Γεωγίου, omissum in rubrica, e litteris capitalibus θεοτ. deducitur
heirm. α' EE 102, n. 144, Cosmae; heirm. integer in Mf invenitur
2 μέλψωμεν] μάρτυρας Vw

1-5 cfr. IV Mac. 17,5

εὐκλεεῖς Μακκαβαίους,
τοὺς Ἐλεαζάρου φοιτητάς, ὡς ἐκ σελήνης
τῆς Σολομωνίδος φανέντας,
ᾄδοντες τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.

Ὁ θεῖος χορὸς πατέρων σεπτῶν
πάντων, τῶν πρὸ νόμου καὶ μετὰ νόμον λαμψάντων φαιδρῶς,
γηθοσύνως συγχαίρει
ἐν τῇ μνήμῃ σήμερον τῶν σοφῶν Μακκαβαίων,
σὺν τῷ νομοθέτῃ μέλπων Μωσεῖ·
« ᾄσωμεν τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται ».

Ὑπὲρ ἀρετῆς ἱδρῶτας πολλοὺς
τοὺς τοῦ νομοθέτου θερμῶς ζηλοῦντες κινδύνους τε
τοὺς ὑπὲρ εὐσεβείας
ἀνδρικῶς μιμούμενοι ἠθλήσατε, πατρῴων
νόμων ὡς προκινδυνεύοντες,
ἔνδοξοι Μακκαβαῖοι· διὸ μακαρίζεσθε.

Σήμερον χορείαν πλέξαντες
παῖδες ἀκλινεῖς ἑπτὰ σὺν γενναίᾳ μητρὶ
καὶ κλεινῷ διδασκάλῳ,
μέλος ἐπινίκιον ἐξᾴδουσι συμφώνως
μετὰ Μαριὰμ προφήτιδος·
« ᾄσωμεν τῷ Θεῷ, ὅτι δεδόξασται ».

θεοτ. Γαστρὸς ὃν πατὴρ πρὸ ἑωσφόρου γεννᾷ
ἄχρονον υἱὸν ἀρρεύστως, τὸν τοῦ παντὸς ποιητήν,
ἐν γαστρὶ συλλαβοῦσα,

5 σολομόνιδος Mf 6 post ὅτι orat. detruncat Wz 7 σεπτὸς Mf 8 φαιδρὸς Mf 12.24 post ᾄσωμεν orat. varie excidunt Wz Mf 14 ζηλοῦντας Wz 16 πατρώω Mf 17 νόμω Mf 22 ἐξάδου Vw 25-30 hoc aliud θεοτ. Mf Vw tradunt:

Χοροί σε βροτῶν ὑμνοῦσιν, ἁγνή,
καὶ τῶν ἀσωμάτων τὰ πλήθη γεραίρουσι·
τὸν γὰρ κτίστην τῶν ὅλων
ἐκ νηδύος σου ἀφράστως προελθόντα καθορῶντες,
τούτῳ (τοῦτον Vw) ἀσιγήτως μέλπουσιν·
« ᾄσωμεν τῷ κυρίῳ, <ὅτι δεδόξασται »>.

23-24 Ex. 15,20-21 25 Ps. 109,3

ὑπὸ χρόνον τίκτεις τὸν αὐτὸν σεσαρκωμένον,
ἐκ κοιλίας Ἅδου καὶ σκότους,
δέσποινα, ἐκλυτρούμενον τοὺς σὲ γεραίροντας.

ᾠδὴ γʹ. *Τόξον δυνατῶν ἠσθένησε*

Ἔργῳ καὶ λόγῳ κοσμούμενος,
πολιὸς τὴν τρίχα
πολιὸς καὶ τὴν φρόνησιν,
ἱερεύς τε καὶ ἱερεῖον
Ἐλεάζαρ ἀναδέδεικται.

Νόμῳ θεϊκῷ πειθόμενοι
μητρὸς εὐγενοῦς
εὐγενῆ παῖδες βλαστήματα,
μεγαλόψυχοι καὶ γενναῖοι,
τοὺς ἀνόμους ἐτροπώσαντο.

Νίκην τὴν καλὴν νικήσαντες
οἱ τῆς εὐσεβείας
ἀγωνισταὶ γενναιότατοι
ὑπὲρ νόμου τελειωθέντες,
τοὺς στεφάνους ἀνεδήσαντο.

Ὅλην τὴν στοργὴν τῆς φύσεως
πρὸς τὸν ποιητὴν
μεταθεμένη, φιλόθεε,
ἐπαλείφεις πρὸς τοὺς ἀγῶνας
τοὺς σοὺς παῖδας καὶ προσάγεις Θεῷ.

θεοτ. Εὗρε διὰ σοῦ ἡ φύσις βροτῶν,
κόρη, παγγενῆ
καὶ παντελῆ ἐπανόρθωσιν·
διὰ τοῦτό σε σωτηρίας
ὡς αἰτίαν μακαρίζει ἀεί.

heirm. γʹ EE 102, n. 144, Cosmae 38 εὐγενῆ] γενῆ Wz βλαστήματι Vw 51-55 aliud θεοτ. Mf Vw servant Κόσμος διὰ σοῦ ἠλέηται PaR 306 54 σωτηρίαν Wz

Κάθισμα.

Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ Λόγου*

Εὐσεβῶς παιδευθέντες,
παῖδες σοφοί,
....

ᾠδὴ δ'. *Εἰσακήκοα τὴν ἔνδοξον*

Μυστικῶς μὲν προθυόμενος
καὶ προευχόμενος τοῦ πρὶν Ἰσραήλ,
νῦν ἑαυτὸν δὲ προσάγων θῦμα
ὡς ἱερεὺς καθάρσιον παντὸς τοῦ λαοῦ
θεῖος Ἐλεάζαρ δοξάζεται.

κάθ. Εὐσεβῶς παιδευθέντες (cfr. Εὐσεβῶς συντραφέντες) MR VI,283 alia καθ. Vw tradit:

Ἦχος δ'. *Ἐπεφάνης σήμερον*
Ὡς ἀστέρες μέγιστοι
τῆς εὐσεβείας
τὰ τῆς γῆς πληρώματα
καταφωτίζετε ἀεὶ
ταῖς τῶν θαυμάτων λαμπρότησι,
μάρτυρες θεῖοι,
ἀγγέλων συνόμιλοι. idem κάθ. post oden ϛ' Mf profert
<Ἕτερον> ὅμοιον.
Ἑπταφώτῳ λάμποντες
αἴγλῃ καὶ πίστει,
Μακκαβαῖοι σύναιμοι,
σὺν τῇ μητρὶ καὶ τῷ σοφῷ
Ἐλεαζάρῳ ἠθλήσατε
καὶ στεφηφόροι
κυρίῳ παρίστασθε.

heirm. δ' EE 102, n. 144, Cosmae; diversus heirm. plane perscriptus in Mf invenitur Εἰσακήκοα, ὁ Θεός, EE 107, n. 150, Andreae, qui autem cum metro stropharum minime aptatur 57 προσευχόμενος Vw

---

57-60 cfr. IV Mac. 6,27-29

Ὡς γενναῖοι καὶ φιλότιμοι
ἀγωνισταὶ καὶ ζηλωταὶ εὐσεβεῖς,
Μωσέως νόμου γνήσιοι μύσται
καὶ ἀκριβεῖς πατρίων ἐθῶν φύλακες
παῖδες οἱ ἑπτὰ μακαρίζονται.

Λογικοῖς ὁλοκαυτώμασιν
ἐπειγομένοις τοῖς παισὶ πρὸς σφαγήν,
συναπελθοῦσα φιλόπαις μήτηρ,
τὴν Ἀβραὰμ θυσίαν ὑπερέβαλε
μεγαλοψυχίᾳ νικήσασα.

Ἀπηνὴς μὲν τοῦ διώκοντος
ἡ τυραννὶς καὶ ὁ θυμὸς ἰταμός,
f. 145 ἀλλὰ ἑδραία ἡ καρ||τερία
γενναίων παίδων καὶ γενναιοτέρας μητρὸς
ἔργοις τε καὶ λόγοις ἐδείκνυτο.

θεοτ. Ὡς παρθένων σεμνολόγημα
καὶ τῶν μητέρων εὐπρεπῆ καλλονὴν
σὲ μακαρίζει βροτῶν ἡ φύσις,
περιχαρῶς τὸ « χαῖρέ » σοι κραυγάζουσα·
σὺ γὰρ τὴν χαρὰν κόσμῳ τέτοκας.

ᾠδὴ ε'. *Ὁ τοῦ φωτὸς διατμήξας*
τὸ πρωτόγονον χάος

Μεμυημένος τὰ θεῖα
ὁ σοφὸς Ἐλεάζαρ,
νεανικὸν ἐν γήρᾳ βαθεῖ
φρόνημα δεικνύς,
πρὸς τοὺς ἀγῶνας
πρῶτος ἐπαποδύεται.

---

62 εὐσεβείας Vw 63 μωσέων Vw 64 πατρόων Vw ἐθνῶν Mf Vw 67 πρὸς φαγὴν Mf Vw 69 τὴν δι' ἀβραὰμ Mf ὑπερέβαλε] νῦν περίβαλε Vw 71-75 troparium desideratur in Vw 77 καλλονῇ Vw

heirm. ε' EE 102, n. 144, Cosmae; heirm. integrum Mf profert, discrepantem autem in nonnullis verbis ab EE heirm. 2 χάος EE σκότος Mf 83 νεανικῶς Vw

---

79 Luc. 1,28 82-84 cfr. IV Mac. 5,31

Ψυχῆς ἀντάξιον ὅλον
οὐκ εἰδότες τὸν κόσμον,
τὰς ἑαυτῶν ἀνδρείως ψυχὰς
ὑπὲρ εὐσεβοῦς
πατρῴου νόμου,
θεῖοι παῖδες, τεθείκατε.

Ἀβραμιαίας θυσίας
ὑπερῆρας τὸ κλέος·
δῆμον γὰρ ὅλον παίδων Θεῷ
καθιεροῦσα,
καὶ ἱερέας
καὶ μητέρας νενίκηκας.

Νομοθεσίας πατρῴας
ὁ ἑπτάριθμος παίδων
προκινδυνεύων θεῖος χορός,
ζήλῳ θεϊκῷ
τοῦ διδασκάλου
πρὸς ἀγῶνας ἐχώρησαν.

θεοτ. Ῥεῖθρον ἀείζωον βρύεις
ὡς πηγὴ ἀφθαρσίας
καὶ ποταμὸν εἰρήνης Χριστοῦ
κόσμον μυστικῶς
ἀρδείαις θείαις,
θεοτόκε, εὐφραίνοντα.

ᾠδὴ ς'. *Ἐν τῷ θλίβεσθαί με*
ἐβόησα πρὸς κύριον

Τοὺς ἐν νόμῳ παῖδας
νομίμως ἐναθλήσαντας

89 ἑαυτῶν] ἑαυτ Vw 91 πετρώου Wz 104 ἐχώρησεν Mf 105-110 aliud θεοτ. Mf Vw proferunt Ἐν τῷ ὠδίνειν σε, κόρη, MR V, 37 109 ἀρδρείαις Wz

heirm. ς' EE 102, n. 144, Cosmae; heirm. integrum Mf praebet, discrepantem autem in nonnullis verbis ab EE heirm. 2 ἐβόησα EE ἐκέκραξα Mf

89-92 cfr. Joh. 10,11ss. 106 cfr. Cant. 4,12.15

καὶ στεφανωθέντας
ἐπαξίως μακαρίσωμεν.

Ἀπειλῆς καὶ φόνου
ἐμπνέοντα τὸν τύραννον
ἔργοις τε καὶ λόγοις
οἱ στερροὶ παῖδες κατέπληξαν.

Σταθερὰν τὴν γνώμην,
ἀήττητον τὸ φρόνημα
καὶ ψυχὴν γενναίαν
ἐπεδείξαντο οἱ μάρτυρες.

θεοτ. Γεωργὸν τεκοῦσα
παντὸς τοῦ κόσμου, δέσποινα,
χερσωθεῖσαν φύσιν
τῶν ἀνθρώπων ἐνεούργησας.

Κοντάκιον.

Ἦχος α'. *Χορὸς ἀγγελικὸς*

Τοῦ νόμου ζηλωταὶ
....

Ὁ οἶκος.

Τοῦ Ἀβραὰμ παρεζήλωσας
....

118 κατέπνηξαν Mf 119 Σταθερῶς Wz Σταθηρὰν Vw 123 126 aliud θεοτ. Mf Vw tradunt Ἡ Θεὸν τεκοῦσα MR V, 37

κοντάκ. et οἶκ. AK 130; Vw diversum κοντάκ. Σοφίας (Σοφία cd.) Θεοῦ et οἶκ. Αἴνει θερμῶς, Σιών, τὸν Θεόν σου MR VI,287; Mf autem κάθ. Ὡς ἀστέρες μέγιστοι (cfr. p. 4 app. crit.) post oden ς' tradit

115-116 cfr. Act. 9,1

ᾠδὴ ζ′. *Ἀβραμιαῖοι ποτὲ*
ἐν Βαβυλῶνι παῖδες
καμίνου φλόγα κατεπάτησαν
ἐν ὕμνοις κραυγάζοντες·
« ὁ τῶν πατέρων ἡμῶν
Θεός, εὐλογητὸς εἶ».

Ἀβραμιαίαν ψυχὴν
νεανικήν τε γνώμην
ἐν γυναικείῳ ἔσχε σώματι
μήτηρ ἡ φιλόθεος,
μεγαλοψύχῳ δόσει
προσφέρουσα τοὺς παῖδας.

Σπαρασσομένη δεινῶς
σπλάγχνα μητρῷα μήτηρ
φιλόπαις ὄντως καὶ φιλόθεος,
τοὺς παῖδας ἐπήλειφε
χωρεῖν πρὸς τοὺς κινδύνους
μηδόλως ἐνδιδόντας.

Τῶν τρισαρίθμων παίδων
ἐν ἀριθμῷ καὶ ζήλῳ
καὶ καρτερίᾳ ὑψηλότεροι,
αὐτάδελφοι, ὤφθητε,
συμφώνως μελῳδοῦντες·
« Χριστέ, εὐλογητὸς εἶ ».

f. 145v ||Ἐλεαζάρου μύσται,
Σολομωνίδος παῖδες
ἑπτά, γενναῖοι νομοφύλακες
ἀδελφὰ φρονήσαντες,
ὑπὲρ ἐθῶν πατρῴων
προθύμως θανατοῦνται.

heirm. ζ′ CPC 178, Cosmae; heirm., qui in EE deest, integrum Mf profert, discrepantem autem in nonnullis verbis a CPC heirm. 3 φλόγαν cd. (cfr. MITSAKIS, 25) v. 4 καὶ ὑμνοῦντες ἔψαλλον CPC 129 γυναικεία Wz 136 ἀπήλειφε Wz ἀπείληφε Vw 138 ἐκδιδόντας Vw 146 σολομονίδες Vw 149 ἐθνῶν Vw

θεοτ. Ἱερολόγων φωναὶ
καὶ προφητῶν προρρήσεις
τῆς σῆς λοχείας τὸ ἀπόρρητον
ἐδήλουν, θεόνυμφε,
δι’ ἧς βροτὸς ὡράθη
Θεὸς ὁ πρὸ αἰώνων.

ᾠδὴ η′. *Οἱ ἐν Βαβυλῶνι παῖδες*
τῷ θείῳ πυρπολούμενοι ζήλῳ
τυράννου καὶ φλογὸς ἀπειλὴν
ἀνδρείως κατεπάτησαν,
καὶ μέσον πυρὸς ἐμβληθέντες
δροσιζόμενοι ἔψαλλον·
« εὐλογεῖτε
πάντα τὰ ἔργα
κυρίου τὸν κύριον».

Ῥώμην προσλαβὼν θεόθεν
πρεσβύτης ἱερεὺς Ἐλεάζαρ,
ἀθλήσεως προοίμιον δεξιὸν
καὶ θῦμα τελεώτατον
ἐδείχθη Θεῷ, φθεγγομένη
καὶ σιγῶσα παραίνεσις
τῶν βοώντων·
« πάντα τὰ ἔργα
κυρίου τὸν κύριον ».

Ἀποδεδειγμένος μύστης
καὶ θεῖος μυητὴς Ἐλεάζαρ,
τῶν πρὸ Χριστοῦ παθόντων ἡ ἀπαρχή,
οὐ τοῖς ἔξω ῥαντίσμασι
λαὸν Ἰσραὴλ ἁγιάζει,
ἀλλ’ οἰκείοις ἐν αἵμασι,

151-156 aliud θεοτ. in Mf Vw Ἀπαγωγῆς πονηρᾶς PaR 309
heirm. η′ CPC 179, Cosmae; heirm., cuius textum integrum Mf servat, in EE deest 160 τελειότατον Mf Vw 163 post βοώντων orat. varie detruncatur in Vw Wz Mf 171 ἀλλὰ Mf

προτυπώσας
πάθος τὸ θεῖον
ἰδίοις παθήμασιν.

Σὺ ὡς ἀληθῶς γενναία
ἐδείχθης ἐν μητράσι, θεόφρον·
τῆς σώφρονος γὰρ Ἄννης ζηλωτὸν
ὑπερέβαλες φρόνημα,
οὐ νήπιον παῖδα, ἀλλ' ἑπτὰ
νεανίας προσφέρουσα
τῷ δεσπότῃ
διὰ βασάνων
θυσίαν εὐάρεστον.

Σωματοειδῶς τὸν Λόγον
ἐν γῇ ἐπιδημήσαντα γνόντες,
σωμάτων οὐκ ἐφείσασθε, ἀθληταί,
ἀλλ' ἀνδρείως ἀντέστητε
πρὸς πείρας βασάνων καὶ ποινῶν
πολυτρόπων στρεβλότητα,
προτυποῦντες
πάθος τὸ θεῖον,
τοῦ κόσμου σωτήριον.

θεοτ. Ὁ σωτηριώδης Λόγος
βροτῶν ἐπανακλήσει σαρκοῦται
καὶ τίκτεται ἐκ σοῦ ὑπερφυῶς,
χρηματίσας θεάνθρωπος,
καὶ σὲ τὴν τεκοῦσαν μετὰ τόκον
παρθένον ἐφύλαξε
καὶ προστάτιν
ἔδειξε κόσμῳ
καὶ σκέπην σωτήριον.

---

176 θεόφρονι Wz 177 ἄννης γὰρ Mf 187 versus desideratur in Vw 188 πεῖραν Mf Vw 192 τοῦ] τὸ Vw 193-201 aliud θεοτ. Mf Vw tradunt Τὴν φωτοειδῆ νεφέλην PHG CIV

ᾠδὴ θ'. *Ὁ τόκος σου ἄφθορος ἐδείχθη*

Εὐφραίνεται μήτηρ μετὰ τέκνων
σκηναῖς καταπαύσαντες ἁγίων,
Ἐλεάζαρ δὲ τούτοις,
ὡς πατὴρ πνευματικὸς μυσταγωγός τε θεῖος,
νῦν συγχορεύει
καὶ συγχαίρει μεγαλύνων Χριστόν.

Βαβαὶ τῆς εὐψύχου καρτερίας,
ἧς ἔσχες Θεῷ παρατιθεῖσα
ὡς θυσίαν τὰ τέκνα,
ἑαυτὴν δὲ θῦμα τελευταῖον προστιθεῖσα,
οἷα φιλόπαις
καὶ φιλόθεος, ἑκούσιον!

Ὡς ὑπὲρ χιόνα λευκανθέντες
ἀρετῶν ἐνθέων λαμπηδόσιν,
ὡς χρυσὸς ἐν χωνείᾳ
ἐξηστράψατε βασάνοις δοκιμασθέντες,
νῦν δὲ θαυμάτων
ἀστραπαῖς κόσμον φωτίζετε.

θεοτ. Ὑμνεῖ σε ἀγγέλων πᾶσα τάξις
ὡς δόξης τεκοῦσαν βασιλέα,
τῶν ἁγίων κροτεῖ σε
ὁ χορὸς ὡς νίκης θείας πρόξενον, κόρη,
ἅπας πιστὸς δὲ
ὡς προστάτιν σε γεραίρει ἀεί.

---

heirm. θ' EE 102, n. 144, Cosmae; textum heirm. integrum in Mf invenitur 208 ἐμψύχου Mf Vw 209 ἔσχε Mf παρατεθεῖσα Vw 211 προστυθεῖσα Vw 214 ὑπερχίονα Mf 220-225 aliud θεοτ. Mf Vw referunt:

Ῥομφαία ἐξέλιπεν εἰς τέλος
ἐχθροῦ, θεομῆτορ· ἐκ γαστρός σου
ἀνατείλας Θεὸς (χριστὸς Vw) γὰρ
τῇ βουλήσει τοῦ πατρὸς τούτου μετ' ἤχου
μνήμην καθεῖλε (Ps. 9,7)
διασώσας τὸ ἀνθρώπινον.

---

214 cfr. Ps. 50,9 216-217 cfr. Sap. 3,6

IN SS. DALMATUM, FAUSTUM ET ISAACIUM

Synaxarium, 865-866: Μνήμη τῶν ἁγίων πατέρων ἡμῶν Δ α λ μ ά τ ο υ, Φ α ύ σ τ ο υ καὶ Ἰ σ α α κ ί ο υ. Οὗτος ὁ ἅγιος Δαλμάτος ἐστρατεύετο ἐν τῇ δευτέρᾳ σχολῇ ἐπὶ Θεοδοσίου τοῦ βασιλέως, ζῶν εὐσεβῶς καὶ θεαρέστως. Καὶ διὰ τὸν Θεὸν καταλιπὼν γυναῖκα καὶ τέκνα καὶ μόνον τὸν υἱὸν αὐτοῦ Φαῦστον μεθ' ἑαυτοῦ παραλαβὼν ἔρχεται πρὸς τὸν ὅσιον Ἰσαάκιον καὶ τὸν μοναστὴν ὑπελθὼν βίον, εἰς ὕψος ἀρετῶν μέγιστον ἤρθη. Ὁ δὲ θαυμάσιος οὗτος Ἰσαάκιος ἐκ σπαργάνων αὐτῶν τὴν ἔρημον ᾤκησεν, πᾶν εἶδος ἀρετῆς μετερχόμενος· ὅθεν καὶ ὁ λόγος αὐτῷ λαμπρότατος ἦν τῷ βίῳ κατακοσμούμενος. ... Οὗτος, μέλλων ἐκδημεῖν τῶν τῇδε, τὸν ὅσιον Δαλμάτον ἡγούμενον προεστήσατο, Ἀττικοῦ τότε τῆς Κωνσταντινουπόλεως πατριαρχοῦντος. Αὐτὸς δὲ πρότερον διαπρέψας ἐν τῇ ἀσκήσει καὶ ἐπὶ τεσσαράκοντα ἡμέραις ἀπόσιτος διαμείνας καὶ ἐν ἄλλαις τοσαύταις ἐν ἐκστάσει γεγονὼς καὶ τοῖς βασιλεῦσι καὶ συγκλήτῳ καὶ τοῖς κατ' Ἔφεσον συνελθοῦσι πατράσιν αἰδέσιμος φανείς, οἳ καὶ ἀρχιμανδρίτην αὐτὸν καὶ τοὺς μετ' αὐτὸν τῆς κατ' αὐτὸν μονῆς ἄρξοντας ἐψηφίσαντο μέχρις αἰῶνας ὑπάρχειν, ἐν Χριστῷ κοιμηθείς, κατατίθεται ἐν τῷ ἰδίῳ μοναστηρίῳ.

Paris. Coislin. gr. 218 = Ha, ff. 22-24
Mess. gr. 140 = O, ff. 95-96v

Ὁ κανών.

f. 22v || Ἦχος δ'.

ᾠδὴ α'. *Ἄσωμεν τῷ κυρίῳ*
τῷ παραδόξως βυθίσαντι

Ἐτήσιον ἐκτελοῦντες
ἐπὶ τῆς γῆς καὶ πανέορτον

heirm. α' EE 95, n. 134, Germani; hunc ineditum heirm. O tradit, qui autem metro stropharum minime aptatur:

Ἄσωμεν τῷ κυρίῳ
τῷ ποιήσαντι παράδοξα·
πάλαι γὰρ τὸν Φαραὼ
πανστρατὶ ἐν θαλάσσῃ ἐβύθισεν.

2 πανίερον O

καὶ σεβάσμιον μνήμην
Δαλμάτου τοῦ μάκαρος,
σπουδαίως νῦν συνδράμωμεν.

Κατέλιπες, θεοφόρε,
τὰ ἐπὶ γῆς θαυμαζόμενα
καὶ ἀεὶ μὴ παρόντα
κἀκεῖνα ἐπόθησας
τὰ ὄντα καὶ μὴ λείποντα.

Μυρίζουσιν ὥσπερ κρίνα
ἐν παραδείσῳ, μακάριε,
οἱ ἀτμοὶ τῶν καμάτων
τῶν σῶν καὶ εὐφραίνουσι
τοὺς πίστει ἑπομένους σοι.

Ἰσάκιον καὶ Δαλμάτον
καὶ Φαῦστον πάντες τιμήσωμεν
ὡς φωστῆρας φανέντας
καὶ τεῖχος ἀπόρθητον
κόσμου καὶ ἡμῶν τῶν πιστῶν.

θεοτ. * Τὸν Λόγον ἐν τῇ γαστρί σου
τὸν ὑπὲρ λόγον συνείληφας,
παναγία παρθένε,
καὶ τοῦτον ἐκύησας
εἰς πάντων σωτηρίαν βροτῶν.

4 μάκαρος] μάρτυρος O 8 παρόντα] μένοντα O 10 λίγοντα O 16-20 troparium om. O 21-25 θεοτ. Bes s. II 4 (1903) 343 24 ἀπεκύησας Bes 21-25 hoc aliud θεοτ. O praebet:

Σὲ τὴν χαρὰν τῶν ἀγγέλων,
τῶν ἀποστόλων τὸ καύχημα
καὶ τῶν ἁγίων μαρτύρων
στερέωμα ἄσειστον,
παρθένε, μακαρίζομεν. (μακαρίζωμεν cd.)

ᾠδὴ γ'. *Ἐν κυρίῳ Θεῷ μου ἐστερεώθη ἡ καρδία μου*

Τὴν ἐτήσιον μνήμην
ἐπιτελοῦντες, ὦ φιλέορτοι,
Δαλμάτου τοῦ ὁσίου,
Χριστὸν συμφώνως ἀνυμνήσωμεν.

Καταλείψας τὸν βίον,
γυναῖκα, τέκνα, καθὼς ἔφη Χριστός,
ἐπ' ὤμων τὸν σταυρόν σου
ἀναλαβών, αὐτῷ προσῆλθες, σοφέ.

Ἰσακίου τοῦ σοφοῦ,
Δαλμάτου, Φαύστου τὰ μνημόσυνα,
προθύμως συνελθόντες,
δεῦτε, φιλέορτοι, τιμήσωμεν.

θεοτ. * Τὴν θεομήτορα παρθένον
ὀρθοδόξως ἀνυμνήσωμεν·
πρεσβεύει γὰρ ἀπαύστως
ὑπὲρ ἡμῶν πρὸς τὸν κύριον.

ᾠδὴ δ'. *Εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην*

Τὴν ἐτήσιον
τοῦ θεοφόρου μνήμην τελοῦντες,
τὸν Χριστὸν δοξολογήσωμεν
τὸν ἀρεταῖς αὐτὸν στέψαντα.

---

heirm. γ' EE 104, n. 146, Germani; hic heirm. in O profertur:
Ἐν κυρίῳ Θεῷ μου ἐστερεώθην,
δι' οὗ οἱ ἀσθενοῦντες
περιεζώσαντο δύναμιν.
33 αὐτὸν O   σοφὲ] χριστῶ O   38-41 θεοτ. MR III, 461; AHG I, 6.264; VII, 109
heirm. δ' EE 95, n. 134, Germani; alium heirm. integrum O profert Εἰσακήκοα τὴν ἀκοήν σου ... καὶ ἐδόξασά σε, in EE 78, n. 110 ed., sed ad ἦχ. γ' pertinentem   v. 45 ὡς δοξάσαντα τὴν μνήμην αὐτοῦ O

30-33 cfr. Marc. 8,34; Luc. 9,23

Σκεῦος γέγονας
ἡγιασμένον Θεῷ, Δαλμάτε,
τὰ χαρίσματα δεξάμενος
τοῦ θείου πνεύματος, ὅσιε.

f. 23 || Τεσσαράκοντα
καὶ ὀκτὼ ἔτη ἐνδιαπρέψας
μὴ προβαίνων ἐκ τῆς κέλλης σου,
Δαλμάτε, πάτερ μακάριε.

Ἡ πανήγυρις
τῶν θεοφόρων ὤφθη πατέρων
καταυγάζουσα τὰ πέρατα
διὰ τῆς χάριτος ἅπαντα.

θεοτ. * Μήτηρ ἄχραντε,
εὐλογημένη, ἁγνὴ παρθένε,
τοὺς ὑμνοῦντάς σε περίσωζε
ἀπὸ πάσης περιστάσεως.

ᾠδὴ ε'. *Ὁ ἀνατείλας τὸ φῶς καὶ φωτίσας τὸν ὄρθρον*

Προφητικῶς, ἀληθῶς,
ἐμπνευσθείς, θριαμβεύεις

50-53 troparium deest in O   51 ἐνδιαπρέψας pro ἐνδιέπρεψας: cfr. MITSAKIS, 160-161   58-61 θεοτ. AHG I, 8.265; cfr. etiam in hoc volumine canonem XVII, 57-60 et MR III, 87, sed ad ἦχ. βαρὺς pertinens (cfr. Commentarium)   58 Μῆτερ O AHG
heirm. ε' EE 104, n. 146, Germani; heirm. integrum O tradit, duos vero ultimos versus alia manus in margine add.

50-53 A. BANDURI, *Imperium Orientale*, II, Venetiis 1729, 517[D]: Ἦν γὰρ ἔχων τεσσαράκοντα καὶ ὀκτὼ ἔτη μὴ ἐξελθὼν ἑαυτοῦ τοῦ κελλίου, ἀλλ' ἔσω ὢν καὶ ἡσυχάζων...   cfr. M. Γεδεών, *Βυζαντινὸν Ἑορτολόγιον*, ἐν Κωνσταντινουπόλει 1899, 147; J. D. MANSI, *Sacrorum Conciliorum nova et amplissima Collectio*, IV, Florentiae 1760, 1257[E].
62-66 A. BANDURI, o.c., 516[D-E]: ... καὶ διελθουσῶν ἡμερῶν οὐκ ὀλίγων, φήμη διέδραμεν περὶ Νεστορίου τινός, εἰς τὸ γενέσθαι αὐτὸν ἐπίσκοπον Κων-

---

46-47 II Tim. 2,21

Νεστόριον τὸν πλάνον
πολυθεΐαν σέβοντα,
Δαλμάτε πάτερ, ἐκ θείας χάριτος.

« Μνήμη δικαίων », φησί,
« μετ' ἐγκωμίων », ὡς γράφει
Δαβὶδ ἐν βασιλεῦσι·
διό σου, Δαλμάτιε,
Χριστὸς ἐδόξασε τὸ μνημόσυνον.

Ὁ Ἰσακίου, Χριστέ,
καὶ Δαλμάτου καὶ Φαύστου
τὴν μνήμην μεγαλύνας,
δόξα σοι, δόξα σοι,
Ἰησοῦ, υἱὲ τοῦ Θεοῦ.

θεοτ. * Τὴν τοῦ ἀγγέλου φωνὴν
ἀσιγήτως ἡ κτίσις
προσφέρει σοι, παρθένε·
« Χαῖρε, μήτηρ ἄχραντε
Ἰησοῦ, τοῦ υἱοῦ τοῦ Θεοῦ ».

---

66 θείας ἐκ χάριτος O 70 διὸ δεί σου δαλμάτε O 71 ἐδόξασε χριστός O 76 ἰησοῦ χριστὲ υἱὲ τοῦ θεοῦ καὶ λόγε O 77-81 θεοτ. MR II, 688; AHG I, 10.239.265; VI, 100; VII, 111 80 μῆτερ AHG (praeter AHG VII) 81 ante υἱοῦ om. τοῦ MR AHG VII

σταντινουπόλεως. Τὰ μὲν ἔνδοθεν αὐτοῦ οὐδεὶς ἠπίστατο εἰ μὴ μόνος ὁ Θεός. Τῷ δὲ ἁγίῳ Δαλματίῳ ἀπεκάλυψεν ὁ Θεὸς περὶ αὐτοῦ, ὅτι διεστραμμένος ἐστίν· καὶ ἦν παρ' ἑαυτοῦ τὴν ἀποκάλυψιν φυλάξας.

Συνέβη οὖν μετ' ὀλίγον χειροτονηθῆναι αὐτὸν ἐπίσκοπον· καὶ χειροτονηθεὶς ὁ ἀνάξιος τῆς ἱερωσύνης Νεστόριος, ἦλθεν ἐν τῷ μοναστηρίῳ, καθὼς ἔθος ἐστὶν ἔρχεσθαι τοὺς ἐπισκόπους, προσκυνῆσαι τὸν ὅσιον Δαλμάτιον. Καὶ θελήσαντος αὐτοῦ εἰσελθεῖν εἰς τὸ κελλίον τοῦ ἁγίου ἀνδρός, ἐκώλυσεν αὐτὸν λέγων· « ἄπελθε διόρθωσαι τὰ κρυπτὰ τῆς καρδίας σου, τουτέστι, τὴν πίστιν σου τὴν διεστραμμένην, καὶ τότε εἰσέρχῃ εἰς τὸ κελλίον μου. Καὶ ἐξῆλθε καὶ ἀπῆλθε καὶ μὴ βουλόμενος. Ὅσοι δὲ ἤρχοντο εἰς προσκύνησιν τοῦ ὁσίου ἀνδρὸς παρήγγελλεν αὐτοῖς λέγων· « βλέπετε ἑαυτούς, τέκνα καὶ ἀδελφοί, ὅτι μέγα θηρίον ἐπεδήμησεν ἐν τῇ πόλει ταύτῃ, καὶ διεστραμμένος ἐστὶν ἐν τῇ πίστει, καὶ πολλοὺς ἔχει ἀπολέσαι τῇ ἀδικίᾳ τῆς διδασκαλίας αὐτοῦ. cfr. M. Γεδεών, o.c., 146; J. D. Mansi, o.c., 1260A-B.

67-68 Prov. 10,7 77-81 Luc. 1,26-28

ᾠδὴ ς'. *Ὡς Ἰωνᾶν τὸν προφήτην*
ἐλυτρώσω τοῦ κήτους

Δουλαγωγήσας τὸ σῶμα,
καθὼς γράφει ὁ Παῦλος,
Δαλμάτιε,
τὰ πάθη ἐνέκρωσας, πάτερ,
καὶ γέγονας τοῦ θείου πνεύματος **οἴκημα.**

Τοὺς ἐτησίως τελοῦντας
τὴν πανέορτον μνήμην,
Χριστὲ ὁ Θεός,
Δαλμάτου τοῦ μάκαρος σῶζε
ἐκ πάσης ψυχοφθόρου καὶ σαρκικῆς ἀπειλῆς.

Ὁ Ἰσακίου τὴν μνήμην
καὶ Δαλμάτου καὶ Φαύστου
φαιδρύνας, Χριστέ,
αὐτῶν ταῖς δεήσεσι ῥῦσαι
ἐκ πάσης ψυχοφθόρου βλάβης **τοὺς δούλους σου.**

θεοτ. Ἡ δι' ἀγγέλου τὸν Λόγον
ὑπὲρ λόγον τεκοῦσα,
παρθένε ἁγνή,
καὶ μείνασα φύσει παρθένος
ἱκέτευε σωθῆναι τοὺς ἀνυμνοῦντάς σε.

---

heirm. ς' EE 103, n. 145, Joannis; textum heirm., altera manu in margine scriptum, integrum O profert 82-86 troparium ut secundum O tradit 84 δαλμάτε σοφὲ O 87-91 troparium ut primum O tradit 90 μάρτυρος O 91 ἀπειλῆς] ἡδονῆς O 92-96 troparium om. O 97-101 hoc aliud θεοτ. O refert:

Ἡ ἀφράστως τεκοῦσα
τὸν σωτῆρα τοῦ κόσμου,
Χριστὸν τὸν Θεόν,
αὐτὸν δυσωποῦσα μὴ παύσῃ
τὸ γένος ἅπαν σῶσαι τῶν ἀνυμνούντων σε.



82 I Cor. 9,27 85 Col. 3,5

ᾠδὴ ζʹ. *Ὁ ἐν τῷ ὄρει*
Μωυσεῖ συλλαλήσας

f. 23v || Ὁ συναθροίσας
ἀδελφοὺς καὶ πατέρας
τελέσαι
τὴν ἐτήσιον τοῦ ὁσίου μνήμην
εὐλογητὸς εἶ, κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὁ ἐν τῷ ὄρει
τῆς ὑψηλῆς πολιτείας
ὑψώσας
τὸν θεράποντα ἀσκητήν σου
εὐλογητὸς εἶ, κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὁ Ἰσακίου
καὶ Δαλμάτου καὶ Φαύστου
τὴν μνήμην
μεγαλύνας τῇ οἰκουμένῃ
εὐλογητὸς εἶ, κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

θεοτ. * Ὁ ἐν τῇ μήτρᾳ
τῆς παρθένου οἰκήσας
καὶ ταύτην
οὐρανῶν πλατυτέραν δείξας
εὐλογητὸς εἶ, κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

ᾠδὴ ηʹ. *Τὸν βασιλέα Χριστόν,*
ὃν ὡμολόγησαν

Τοὺς ἐκτελοῦντας, Χριστέ,
μνήμην ἐτήσιον

---

heirm. ζʹ EE 104, n. 146, Germani; heirm. integrum altera manus in margine scripsit in O 107. 113. 125 vv. detruncat Ha 119 v. recidunt Ha O 120-125 θεοτ. MR I, 131; AHG I, 14; VI, 101; X, 45 123 οὐρανοῦ O 124 κύριε om. MR 125 τῶν] ὁ τῶν MR
heirm. ηʹ EE 104, n. 146, Germani

τῶν σοφῶν ἀσκητῶν σου
ἐκ τῶν κινδύνων λύτρωσαι κραυγάζοντας·
« πάντα τὰ ἔργα ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Ἡ ἐν Ἐφέσῳ τὸ πρὶν
σύνοδος ὥρισε
τῶν ἐν τῇ βασιλίδι
μοναστηρίων πάντων προεξάρχειν σε, σοφέ·
ὅθεν ἡ θεία χάρις
λύχνον σε φωτὸς
ὕψωσεν ἐν τῇ λυχνίᾳ.

Ὁ Ἰσακίου, Χριστέ,
καὶ τοῦ θεόφρονος
Δαλματίου καὶ Φαύστου
ἐπὶ τῆς γῆς πανήγυριν φαιδρύνας, σωτήρ,
δώρησαι τοῖς ἐκτελοῦσι
καὶ τοῖς συνελθοῦσιν,
ὁ Θεός, πταισμάτων λύσιν.

θεοτ. * Τὸν βασιλέα Χριστόν,
ὃν ἡμῖν ἔτεκεν
ἡ παρθένος Μαρία
καὶ μετὰ τόκον ἔμεινε παρθένος ἁγνή,
πάντα τὰ ἔργα ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

---

129 κραυγάζοντας] τοὺς κράζοντας O post κράζοντας add. θερμῶς O 130-132 vv. varie recidunt O Ha 136 σε om. O 137 post θεία add. σε O 138 σε φωτὸς] φωτεινὸν O 139 ἐπὶ λυχνίαν O 142 Δαλματίου] δαλμάτου τε O 147-153 θεοτ. MR II, 692; AHG I, 17; VI, 96; VII, 113 152-153 vv. detruncant Ha O

133-136 A. Banduri, o.c., 523^{D}-524^{B}: Ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος, ἡ συναχθεῖσα ἐν τῇ Ἐφεσίων μητροπόλει ... θεσπίζομεν ... τὸν κύριον Δαλμάτιον καὶ τοὺς μετ᾽ αὐτὸν μέλλοντας ἡγεμονεύειν τοῦ εὐαγοῦς μοναστηρίου αὐτοῦ εἶναι ἐξάρχους τῶν εὐαγῶν μοναστηρίων, τῶν τε νῦν ὄντων καὶ τῶν μετὰ ταῦτα ἔσεσθαι μελλόντων ἐν Κωνσταντινουπόλει· ἐπειδὴ ἀκριβῶς ἐπιστάμεθα ὅτι καὶ διδάσκαλός ἐστι καὶ σπουδαῖος περὶ τὴν πίστιν καὶ δύναται ποιμαίνειν τὰ εὐαγῆ μοναστήρια ... cfr. M. Γεδεών, o.c., 147-148.

138-139 cfr. Matth. 5,15.

ᾠδὴ θ'. *Μεγαλύνομεν πάντες*

Οἱ πιστοὶ συνελθόντες
τὴν μνήμην τελέσωμεν
Δαλμάτου τοῦ μάκαρος,
προθύμως συντρέχοντες,
καὶ βοήσωμεν αὐτῷ·
« Χριστὸν δυσώπει
ὑπὲρ ἡμῶν, πατὴρ ἡμῶν ».

Ἠξιώθης, Δαλμάτε,
τῆς σκηνῆς τῆς ἁγίας,
μισήσας τὴν πρόσκαιρον
καὶ δόξαν τὴν ῥέουσαν,
καὶ ἐδοξάσθης ἐν Χριστῷ·
αὐτὸς γὰρ ἔφη· « δοξάσω
f. 24 τοὺς ἐμὲ ‖ δοξάζοντας ».

Ὁ Θεὸς Ἰσακίου
καὶ Δαλμάτου καὶ Φαύστου,
τὸν κόσμον εἰρήνευσον,
τὴν πίστιν στερέωσον,
τοὺς βασιλεῖς ἡμῶν σῶσον
καὶ τὴν ποίμνην σου
ἀσάλευτον φύλαξον.

θεοτ. * Χαῖρε, πάνσεμνε ἁγνή,
παρθενίας καύχημα,
μητέρων τὸ στήριγμα,
ἀνθρώπων βοήθεια
καὶ τοῦ κόσμου ἡ χαρά,
Μαρία, μήτηρ
καὶ δούλη τοῦ Θεοῦ ἡμῶν.

---

heirm. θ' EE 104, n. 146, Germani heirm. 1 Μεγαλύνωμεν Ha 155 τὴν om. O 164 δόξαν καὶ O 173 ποίμνην σου] σὴν ποίμνην O 175-181 θεοτ. TR 60; AHG I, 20.268; VI, 97; VII, 114 177 μητέρων] ἀγγέλων TR 179 καὶ om. TR 180 καὶ μῆτερ TR μῆτερ AHG I 181 τοῦ Θεοῦ ἡμῶν] τοῦ σωτῆρος χριστοῦ AHG VI ἡμῶν om. AHG VII

166-167 I Regn. 2,30

4 AUG. *CANON* III

IN SANCTAM EUDOCIAM MARTYREM

Synaxarium, 498-499: Ἄθλησις τῆς ἁγίας ὁσιομάρτυρος Εὐδοκίας τῆς ἀπὸ Σαμαρειτῶν. Αὕτη ἦν ἐξ Ἡλιουπόλεως, τῆς ἐπαρχίας Λιβανησίας Φοινίκης, κατὰ τοὺς καιροὺς τῆς βασιλείας Τραϊανοῦ, ἐν ἀκολασίᾳ τὸ πρῶτον διαβιοῦσα καὶ πολλοὺς ἐραστὰς τῇ εὐπρεπείᾳ τῆς ὄψεως περισυρομένη καὶ πλοῦτον πολὺν συναθροίσασα. Ὕστερον δὲ προσῆλθε τῷ Χριστῷ. ... Βαπτίζεται οὖν ἀποκαλύψεσι θείαις πεισθεῖσα. Καὶ γὰρ ἔδοξεν ἐκστᾶσα ἑαυτῆς ὑπὸ ἀγγέλου χειραγωγουμένη εἰς τὸν οὐρανὸν ἀνελθεῖν καὶ τοὺς ἀγγέλους συγχαίρειν αὐτῇ τῆς ἐπιστροφῆς καὶ μέλανά τινα καὶ τὴν ὄψιν δεινὸν βρύχειν καὶ καταβοᾶν, ὡς ἀδικούμενον, εἰ ταύτην ἀφαιρεθείη. Διανείμασα δὲ τὸν πλοῦτον αὐτῆς καὶ διαδιδοῦσα πτωχοῖς, ἄπεισιν ἐν μοναστηρίῳ καὶ καλῶς τὸν δρόμον τῆς ἀσκήσεως διερχομένη, προσάγεται Αὐρηλιανῷ τῆς βασιλείας κρατήσαντι, ὑπὸ τῶν πρώην διαβληθεῖσα ἐραστῶν. Θαυματουργήσασα δὲ καὶ τὸν τοῦ βασιλέως παῖδα ἐγείρασα, πρὸς τὴν εἰς Χριστὸν πίστιν ἐπισπᾶται τὸν βασιλέα. Χρόνοις δὲ ὕστερον ἐξετάζεται παρὰ τοῦ Διογένους τοῦ ἡγεμόνος Ἡλιουπόλεως καὶ θαυματουργήσασα πάλιν ἀφίεται. Ὑπὸ δὲ Βικεντίου διαδεξαμένου τὸν Διογένην ξίφει τὴν κεφαλὴν ἀφαιρεῖται.

Crypt. Δ.α. XII	= Cp,	ff. 23v-26
Sinait. gr. 632	= Στ,	ff. 21-24
Paris. Coislin. gr. 218	= Ha,	ff. 26v-28v
Matrit. gr. 4694	= A,	ff. 158-160
Crypt. Δ.α. XXIII	= Cn,	ff. 160-162
Paris. gr. 1575	= Pv,	ff. 186-186v
Paris. Suppl. gr. 152	= Sc,	ff. 179-180
Meteor. Metamorph. 150	= Φ,	ad diem

Ὁ κανών.

Ἦχος δ'.

ᾠδὴ α'. *Ἀνοίξω τὸ στόμα μου*

Φαιδρῶς ἐξανέτειλεν
ἡ ἱερά σου πανήγυρις,

---

tit. Τῇ ἑσπέρᾳ κανὼν τῆς ὁσιομάρτυρος εὐδοκίας Cp sigla Θεοφάνους in margine praebet Φ
heirm. α' EE 99, n. 141, Joannis

ἀκτῖσι τοῦ πνεύματος
περιαυγάζουσα
τοὺς ὑμνοῦντάς σου
ἐν ταύτῃ τοὺς ἀγῶνας
καὶ τὰ κατορθώματα,
μάρτυς πανεύφημε.

Ἡμῶν τὴν ἀσθένειαν
ὁ προσλαβόμενος κύριος,
τοῦ κόσμου τὰ πταίσματα
ὁ ἀφαιρούμενος,
ἐκ πελάγους σε
ἀπάτης ψυχοφθόρου
λιμένι τῆς χάριτος,
μάρτυς, καθώρμισεν.

Λουτρὸν τῆς ἀφέσεως
τῇ συνεργίᾳ τοῦ πνεύματος
λαβοῦσα, πρὸς ἄσκησιν
ἀπηυτομόλησας
καὶ κατέκαυσας
πυρὶ τῆς ἐγκρατείας
παθῶν εὐκατάπρηστον
ὕλην, θεόνυμφε.

Τυράννων πρὸ βήματος
ἀνδρειοφρόνως ἐκήρυξας
Χριστοῦ τὰ παθήματα
καὶ τὴν ἀνάστασιν·
ὅθεν μάστιξι
σφοδρῶς ἀλγυνομένη
τὸν πρίν σε πτερνίσαντα
ὄφιν κατέβαλες.

5 ὑμνοῦντας] ἐν ταύτῃ Pv 6 ἐν ταύτῃ] ὑμνοῦντας Pv 9 Ὑμῶν A Pv Sc 10 προλαβόμενος Φ 13 πελάγουσαι A πελάγουσε Cn σε] σοι Sc 17-24 troparium om. Cn Sc Φ 17 Λουτρῶ Στ Pv 21 κατέκλυσας Ha κατέπαυσας A 25-32 troparium deest in A Pv 26 ἐκηρύξαντος Sc 27 Χριστοῦ om. Sc 31 τὸν] τὸ Sc 32 κατέβαλας Sc

9-10 cfr. Is. 53,4; Matth. 8,17

θεοτ. * Λυτρούμενος ἔλαμψε
σοῦ ἐκ νηδύος ὁ κύριος
τοῦ κόσμου τὰ πέρατα
πλάνης, θεόνυμφε·
ὃν ἱκέτευε,
ὃν πάντοτε δυσώπει
σωθῆναι τοὺς πίστει σε,
κόρη, γεραίροντας.

ᾠδὴ γ΄. *Οὐκ ἐν σοφίᾳ*
καὶ δυνάμει καὶ πλούτῳ καυχώμεθα

Οὐκ ἐν ἰσχύι
τῆς σαρκός, ἀλλὰ σθένει τοῦ πνεύματος
f. 24 τὸν || ἀνίσχυρον ἐχθρὸν
τροπαίοις νίκης κατέαξας,
μάρτυς, φρυαττόμενον,
ἀξιοθαύμαστε.

Δι᾽ ἐγκρατείας
τῆς σαρκὸς θανατώσασα φρόνημα,
συνεργίᾳ τοῦ νεκροῖς

33-40 θεοτ. MR VI, 494-495 36 πλάνης] κόρη Cn 38 ὃν] καὶ MR 40 κόρη] ἁγνὴ Cn
heirm. γ΄ EE 96, n. 136, Joannis 44 κατέαξας] κατέβαλες A 45 φρυαττόμενος Pv 48 tantum θανατώσα Sc

49-52 AA.SS. Mart. I (1668) 881 § 34: Διυπνισθεῖσα δὲ ἡ μακαρία Εὐδοκία καὶ δεηθεῖσα ἐπὶ πολλὴν ὥραν ἐκτενῶς τῷ κυρίῳ, ἤγειρεν τὸν τεθνεότα παραχρῆμα.
AA.SS. o.c., 884 § 50: Τότε κλίνασα τὰ γόνατα αὐτῆς ἐπὶ τὴν γῆν καὶ εὐξαμένη ἐπὶ πολλὴν ὥραν, ἀναστᾶσα, ἔκραξεν μεγάλῃ τῇ φωνῇ λέγουσα· « κύριε Ἰησοῦ Χριστέ, ... πρόσταξον τῷ σῷ θελήματι ἀναζῆσαι τοὺς καταφλεχθέντας ὑπὸ τοῦ πυρός, ὃ σὺ ἀπέστειλας, ὅπως πολλοὶ... δοξάσωσιν τὸ πανάγιον ὄνομά σου ...» Τῆς δὲ δοξολογίας ταύτης πληρωθείσης ὑπὸ τῆς μακαρίας Εὐδοκίας, ... ἀπῆλθεν ἔνθα ἦσαν κείμενοι οἱ νεκροί, καὶ ἀψαμένη ἑνὸς ἑκάστου τῆς χειρός, εἶπεν· « ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ ἀναστάντες ἔσεσθε ὑγιεῖς ὡς τὸ πρότερον ». Καὶ εὐθέως ὥσπερ ἀπὸ ὕπνου ἀνέστησαν ἅπαντες σῶοι καὶ ὁλόκληροι.

48 Rom. 8,6

ἀθανασίαν πηγάσαντος
νεκροὺς ἐξανέστησας,
μάρτυς ἀοίδιμε.

Τοῦ σταυρωθέντος
δι' ἡμᾶς τὰ παθήματα στέργουσα,
φλεγομένη τὴν ψυχὴν
ἐλάφου δίκην κατέσπευσας
θανάτου ποτήριον
πιεῖν, πανένδοξε.

θεοτ. * Ἁγιωτέραν
τῶν ἁγίων καὶ πάσης τῆς κτίσεως
ἀνωτέραν ὁ ἐκ σοῦ
σαρκὶ τεχθεὶς σὲ εἰργάσατο·
ὅθεν σε ὡς δέσποιναν
πάντων γεραίρομεν.

ᾠδὴ δ'. *Ὁ καθήμενος ἐν δόξῃ*
ἐπὶ θρόνου θεότητος

Ἐκ βυθοῦ σε ἀσωτίας
εἰς περίδοξον εἵλκυσεν
ἀφθαρσίας κλέος
Λόγος καθαρός, ὃν ἠγάπησας,
ὃν ἀδιστάκτῳ καρδίᾳ
ἐξεζήτησας,
οὗ τὰ στίγματα ἐν τῇ σαρκί,
μάρτυς, ἤνεγκας.

---

51 νεκρὸν Στ 52 ἀοίδιμε] πανένδοξε Στ Pv 53-58 troparium om. Pv 56 κατέπαυσας Στ Cn 59-64 θεοτ. MR VI, 495 59 Ἁγιωτέρα Φ 60 ἁγίων] ἀγγέλων Στ Ha A Cn Pv Sc Φ MR καὶ] τῆς Sc 62 τεχθεὶς σὲ] τεχθῆναι Cn 63-64 ὅθεν σε γεραίρωμεν / ὡς πάντων δέσποινα A 64 γεραίρωμεν Cp Pv Sc δοξάζομεν Cn

post oden γ' A Φ, ante canonem Cn (f. 159) et post oden ϛ' Sc tradunt κάθ. Τὸν εὐδοκήσαντα Θεὸν AHG VII, 6 (app. crit.)

heirm. δ' EE 95, n. 135, Joannis 67 κλέος] ὕψος Cn 68 ἠγάπησεν Sc 72 ἤνεγκας] ἔδειξας Cn

---

55-58 cfr. Ps. 41,2-3 71-72 cfr. Gal. 6,17

Φανοτάταις θεωρίαις,
νοηταῖς ἀναβάσεσιν
ἐνασχολουμένη,
πόνους ὑποφέρεις ἀσκήσεως,
ἀθλητικὰς ἀλγηδόνας
ἐκαρτέρησας,
ὁσιόμαρτυς, μοναζουσῶν
ἐγκαλλώπισμα.

Δροσισμῷ σου τῶν δακρύων
ἡδονῶν πῦρ κατέσβεσας
καὶ πυρὶ αἱμάτων
τῆς ἀθλητικῆς καρτερίας σου
τῆς ἀσεβείας τὴν ὕλην
ἀπετέφρωσας,
Εὐδοκία, μαρτύρων Χριστοῦ
σεμνολόγημα.

θεοτ. * Ἡ ἁγία θεοτόκος,
ἡ σκηνὴ ἡ ἀμόλυντος,
f. 24v τοῦ φωτὸς ‖ ἡ πύλη,
τράπεζα καὶ στάμνος ἡ πάγχρυσος,
τὸ ἀλατόμητον ὄρος
καὶ κατάσκιον,
ὡς χωρήσασα τὸν πλαστουργὸν
μακαρίζεται.

ᾠδὴ ε'. *Ἀσεβεῖς οὐκ ὄψονται*
τὴν δόξαν σου

Ἀσεβεῖς κατῄσχυνας
εὐσέβειαν σαφῶς

---

76 ἀσκήσεως] τοῦ σώματος Cn 79 ὁσιομάρτυς Cp A Pv 81-88 troparium om. Φ 85 εὐσεβείας Pv 88 ἐγκαλλώπισμα Cn 89-96 θεοτ. MR VI, 497 94 καὶ] τὸ Cn 96 μακαρίζομεν Ha μακαρίζητε Pv μεγαλύνομεν Φ

heirm. ε' EE 97, n. 138, Joannis 98 σοφῶς Στ

---

90 Ex. 25, 9; 26,1; Sap. 9,8; Sir. 24,10 91 Ez. 44,1-2 92 Ex. 25,23 Ex. 16,33-34 93 Dan. 2,34.45 94 Hab. 3,3

καταγγέλλουσα καὶ θανεῖν
ὑπὲρ ταύτης σπεύδουσα,
μάρτυς πανένδοξε,
καὶ ὡς χοῦν ἐλέπτυνας
τῶν εἰδώλων τὰ σεβάσματα.

Τὸν νεκροῖς ἐμπνέοντα
ζωὴν θεαρχικῶς
παρρησίᾳ μαρτυρικῇ
αἰτουμένη ἤγειρας
νεκρούς, ἀοίδιμε,
καὶ νεκρὸν τὸν δράκοντα,
Εὐδοκία, ἐναπέδειξας.

Ἐπιστάς σοι ἄγγελος
μετέωρον ποιεῖ
πρὸ μυήσεως βαπτισμοῦ
τοῦ ἐχθροῦ ῥυσθεῖσάν σε
ὑποδεικνύων σοι
ταῖς ἐλπίσι, πόρρωθεν
τοῦ Θεοῦ ἐκκαλουμένου σε.

θεοτ. * Τὴν ἁγνὴν ἁγνεύοντι
τιμήσωμεν νοΐ,
καλλονὴν τὴν τοῦ Ἰακώβ,

---

100 ταύτην Pv 101 πανένδοξε] ἔνδοξε Ha Sc Φ 105 θεαρχικὴν A Cn Sc θεαρχικῇ Φ 108 versus deest in Pv νεκρὸν Στ 109 καὶ om. Pv 112 ποιεῖ] πιστῶν Pv 113 πρὸ μηνίσεως βαπτιστοῦ A προμηνύσας βαπτιστὰ Pv πρὸ] πρὸς Cn 114 σε om. Στ Ha A Cn Pv Sc Φ 117 ἐκκαλουμένουσσε Cp 118-124 θεοτ. MR VI, 497 119 τιμήσωμεν] ὑμνήσωμεν Ha Φ 120 τὴν om. Pv

---

104-110 AA.SS. o.c., 885 § 55: ... ἀναστενάξασα μέγα, ἐφθέγξατο οὕτως· « κύριε ὁ Θεός, ... ἐπάκουσον κἀμοῦ τῆς ταπεινῆς καὶ κέλευσον τὸν ἐχθρὸν καὶ ἐπίβουλον δράκοντα τῶν σῶν δούλων διωκόμενον ὑπὸ τιμωρίας ἐλθεῖν καὶ ῥίξαντα ἑαυτὸν ἀποθανεῖν... ». Καὶ μετὰ τὸ εὔξασθαι αὐτὴν ταῦτα, ἰδοὺ καὶ ὁ δεινὸς δράκων ἦλθεν διωκόμενος ὑπὸ πυρὸς καὶ ῥίξας ἑαυτὸν ἀπὸ πλεῖον καὶ διαφυσήσας, ἐξέπνευσεν παραχρῆμα.

102-103 cfr. Dan. TH. 2,44 120 Ps. 46,5

ταῖς ἐνθέοις πράξεσι
καλλυνόμενοι,
εὐσεβῶς ὑμνήσωμεν
ὡς μητέρα τοῦ Θεοῦ ἡμῶν.

ᾠδὴ ς΄. *Ἐβόησε*
προτυπῶν τὴν ταφὴν τὴν τριήμερον

Ἐπέστρεψας
πλανωμένους λαοὺς πρὸς εὐσέβειαν
παραδόξως
ἐνεργοῦσα ἐξαίσια θαύματα
καὶ Θεῷ προσῆξας,
Εὐδοκία σεμνή, διὰ πίστεως.

Μεγάλα σου
τὰ τῆς πίστεως ἔργα πεφύκασιν·
ἐκ γὰρ μόνου
τῆς τιμίας χειρός σου χαράγματος

---

121 ταῖς] καὶ MR 124 τοῦ om. Pv
heirm. ς΄ EE 125, n. 172, anonimi 128 ἐνεργοῖσα Sc ἐξαίσια] παράδοξα Cn 133 μόνου] νόμου Cp 134 χαράγματος] χαρίσματος Pv

---

125-130 AA.SS. o.c., 885 § 53: ...ἐδάκρυσεν ἡ μακαρία καὶ ῥίψασα ἑαυτὴν ἐπὶ τὴν γῆν καὶ ἐπὶ πολὺ προσμείνασα τῇ προσευχῇ, ἀνέστη ἀπὸ τοῦ ἐδάφους καὶ δὴ λαβοῦσα τῆς χειρὸς τῆς τεθνηκυίας, εἶπεν μεγάλῃ τῇ φωνῇ οὕτως· « ὁ Θεὸς ὁ μέγας καὶ αἰώνιος Χριστός, ὁ Λόγος ὑπάρχων τοῦ πατρός, δι' οὗ οἱ νεκροὶ ἐγείρονται, αὐτὸς θέλησον εἰς πίστιν τῶν παρόντων ποιῆσαι θαυμάσιον μέγα καὶ κέλευσον ἐγερθῆναι τὴν Φηρμῖναν, διδοὺς αὐτῇ λογισμὸν μετανοίας εἰς τὸ ἐπιστρέψαι πρὸς σὲ τὸν ἀεὶ ζῶντα καὶ αἰώνιον Θεόν». Ταῦτα δὲ αὐτῆς εὐξαμένης, εὐθέως ἀνεπήδησεν ἡ Φηρμῖνα ἐκ τοῦ κραββάτου καὶ πάντες οἱ ὄχλοι ἀνεβόησαν μεγάλῃ τῇ φωνῇ, ὡς ἐξ ἑνὸς στόματος, κράζοντες· « μέγας ὁ Θεὸς Εὐδοκίας, ὄντως ἀληθινὸς Θεὸς καὶ δίκαιος. Δεόμεθά σου καὶ ἡμᾶς σῶζε διὰ τοῦ Θεοῦ σου· πιστεύομεν γὰρ αὐτῷ καὶ ἡμεῖς ἀδιακρίτως ».
131-136 AA.SS. o.c., 882 § 39: Καὶ ... γράψασα, ἔδωκεν τῷ τριβούνῳ τὴν ἐπιστολήν, ποιήσασα ἐν αὐτῇ τρεῖς μόνους σταυρούς, καὶ ἀπέλυσεν μετὰ τελείας εὐχῆς. Δεξάμενος δὲ ὁ τριβοῦνος τὴν ἐπιστολὴν καὶ πιστεύσας, ἀνεχώρησεν ἐκ τοῦ ἀσκητηρίου... καὶ... δρομαίως προσελθὼν τῷ λειψάνῳ, ἐπέθηκεν τὴν ἐπιστολὴν ἐπάνω αὐτοῦ ... καὶ δὴ τῇ πίστει ἐφαψαμένου αὐτοῦ, εὐθέως ἀνεπήδησεν ὁ νεκρὸς ζωοποιηθείς.

f. 25 ‖ ὁ νεκρὸς ψυχοῦται
καὶ ζωὴν ἀληθῆ ὑποδέχεται.

Νεκρώσεως
ἐξεδύσω χιτῶνα τοῖς ἄθλοις σου,
ἀθλοφόρε,
ἐνεδύσω στολὴν ἀφθαρσίας δέ,
μεθ' ἧς εἰς τὰ ἄνω
σὺν ἁγίοις χορεύεις βασίλεια.

Ἐχείμασεν
οὐδαμῶς ἀθείας σε θάλασσα·
θείαις αὔραις
εἰς λιμένα καὶ γὰρ θείας πίστεως
καθωρμίσθης, δόξης
λαβομένη, σεμνή, καὶ λαμπρότητος.

θεοτ. * Ἀνάτειλον
μετανοίας ἀκτῖνάς μοι, δέσποινα,
καὶ τὰ νέφη
πονηρῶν λογισμῶν διασκέδασον,
τοῦ ἡλίου πύλη
τῆς δικαιοσύνης, μητροπάρθενε.

Κάθισμα.

Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ Λόγου ἐν σῇ γαστρὶ*

Φωτισθεῖσα τῇ αἴγλῃ τῇ θεϊκῇ
....

135 νεκροὺς Sc 138 χιτῶνας Cn 142 χορεύει Φ 143-148 troparium deest in Ha Cn Sc Φ 143 Ἀχείμαστον Pv 148 σεμνὴ] καὶ θείας A 149-154 θεοτ. NTh 46 150 ἀκτῖνα A Cn Pv Sc Φ NTh δέσποινα] πάναγνε Στ 152 πονηρῶν] τῶν ψυχῶν Sc λογισμὸν Sc 153 ἡλίου νεφέλη NTh 154 τῆς] τοῦ τῆς NTh μητροπάρθενε] πανάμωμε NTh

κάθ. MR IV, 5; idem ante canonem praebent Στ (f. 20v) Ha (f. 25v), om. A Cn Sc Φ

ᾠδὴ ζ'. *Ὁ διασώσας ἐν πυρὶ
τοὺς Ἀβραμιαίους σου παῖδας*

Τὰς μεθοδείας τοῦ ἐχθροῦ
καὶ τὰ πολυμήχανα κέντρα
τῶν προσευχῶν ἐπιμονῇ
καὶ ταῖς θείαις μελέταις ἀπήμβλυνας,
Εὐδοκία, κραυγάζουσα·
« ὁ Θεὸς ὁ τῶν πατέρων,
εὐλογητὸς εἶ ».

Ὕδωρ ἀλλόμενον σαφῶς
θεῖαν πρὸς ζωὴν ἐν καρδίᾳ
φίλτρον κατέχουσα Χριστοῦ,
f. 25v ἀπιστίας χει‖μάρρους κατέκλυσας
μελῳδοῦσα, θεόπνευστε·
« ὁ Θεὸς ὁ τῶν πατέρων,
εὐλογητὸς εἶ ».

Θαῦμα ἐξαίσιον ἰδοὺ
πᾶσι τοῖς πιστοῖς καθορᾶται·
πῶς εἰς πυθμένα τῶν κακῶν
ἡ τὸ πρὶν δυσσεβῶς καταντήσασα
εἰς αὐτὸ τὸ ἀκρότατον
τῶν καλῶν ἀνεβιβάσθη
ἐνθέοις τρόποις;

θεοτ. Καὶ μετὰ τόκον, ὡς τὸ πρίν,
μένεις ἀειπάρθενος, κόρη·
Θεὸς γάρ ἐστιν ὁ ἐκ σοῦ
ὑπὲρ φύσιν τεχθείς, ᾧ κραυγάζομεν·

heirm. ζ' EE 101, n. 142, Cosmae 155 Ταῖς μεθοδείαις Cp 159 post κραυγάζουσα orat. varie detruncant Cn A Cp Pv Sc Στ Ha 164 φίλτρο Φ χριστὸν Στ A Sc 166 post θεόπνευστε orat. varie excidunt Cn Sc Cp Ha Pv Στ A 173 αὐτὸν A 174 ἀνεβιβάσθης Cn Sc 177 ἀειπάρθενε Ha A Pv Sc Φ 178 ἐκ σοῦ] τεχθεὶς A Cn 179 τεχθείς, ᾧ κραυγάζομεν] παρθένε κραυγάζομεν A ἁγνὴ ἀειπάρθενε Cn

155 cfr. Eph. 6,12

« ὑπερύμνητε κύριε,
ὁ Θεὸς ὁ τῶν πατέρων,
εὐλογητὸς εἶ ».

ᾠδὴ η'. *Λυτρωτὰ τοῦ παντὸς παντοδύναμε,*

Ὑπὲρ φύσιν τὰ σὰ κατορθώματα,
ὑπὲρ νοῦν καὶ τὰ θεῖα χαρίσματα,
αἱ δωρεαὶ δὲ μείζονες
καὶ τὰ ἔπαθλα, μάρτυς,
τῶν σῶν ἀγώνων,
ὧν διήνυσας γνώμης στερρότητι.

Θανατοῦται δεινῶς θανατώσας σε
τῇ τοῦ ξίφους τομῇ ὁ παράνομος,
δαιμονικαὶ δὲ φάλαγγες
διεκόπησαν, μάρτυς,
καὶ ἀνιάτως
πληγωθεῖσαι, εἰς τέλος ἀπώλοντο.

Λυτρωτὰ τοῦ παντὸς πολυέλεε,
τὴν εἰς βάθη δεινῶν ὀλισθήσασαν
εἰς ἀγαθῶν ἀκρώρειαν,
εἰς περίδοξον ὕψος
τοῦ μαρτυρίου
ὡς γνησίαν σου νύμφην ἀνήγαγες.

θεοτ. Τὸ θερμὸν τῶν πιστῶν ἱλαστήριον,
καλλονὴν Ἰακὼβ ἣν ἠγάπησε

---

180 post ὑπερύμνητε varie orat. recidunt Cn Sc Pv A Ha Στ
heirm. η' EE 96, n. 135, Joannis 185 μείζοναι Pv 187-188 hic Cn, propter homoioteleuton vv. 186.192, repetit vv. 193-194 (καὶ ἀνιάτως / πληγωθεῖσαι, εἰς τέλος ἀπώλοντο) 188 γνώμη Pv Sc 189-194 troparium ut tertium Cn profert 189 θανατώσασαι Pv θανατώσασε Φ θανατώσασα Sc 191 δαιμονικαὶ] δαιμονι Pv 195-200 troparium ut secundum Cn tradit 200 ἀνήγαγες] ἐκ⟨.⟩ γαγες Sc 202 ἡ καλλονὴ Pv καλλονὴ Sc Φ

---

202 Ps. 46,5

Θεὸς καὶ ἐξελέξατο,
τὸ κατάσκιον ὄρος,
τὴν θεοτόκον
γενεαὶ γενεῶν μακαρίζουσιν.

ᾠδὴ θ'. *Ὁ τόκος σου ἄφθορος ἐδείχθη*

f. 26 ‖ Ἀγγέλων ἐπεύφρανας χορείας,
μαρτύρων συνήφθης ὁμηγύρει
καὶ παστάδος τῆς ἄνω
ὡς σεμνὴ κατηξιώθης, μάρτυς θεόφρον·
ὅθεν συμφώνως
οἱ πιστοί σε μεγαλύνομεν.

Χειμάρρου τρυφῆς νῦν ἀπολαύεις,
τὰς ἄνω κληροῦσαι κατοικίας,
ὡμοιώθης ἀγγέλοις,
ἀντιδόσεις σου τῶν πόνων ἀπολαμβάνεις,
τὸν εὐεργέτην,
Εὐδοκία, μεγαλύνουσα.

Οὐκέτι ὁρᾷς ὡς ἐν ἐσόπτρῳ
καλῶν τὸ ἀκρότατον, ὁσία,
πρὸς δὲ πρόσωπον, μάρτυς,
θεωρεῖς πρόσωπον, ἤδη διαλυθέντων
τῇ ἀληθείᾳ,
Εὐδοκία, τῶν ἐμφάσεων.

---

203 καὶ] ἣν Στ Ha A Cn Pv Sc Φ 206 μακαρίζουσιν] σὲ δοξάζωμεν Sc
heirm. θ' EE 102, n. 144, Cosmae 207 ἐπεύφρας Pv 209 ἄνω] ἔνδον Στ Ha A Cn Pv Sc Φ 210 ὥσεμνὴ A Sc 211 συμφώνως] οἱ πιστοὶ Pv 212 οἱ πιστοὶ] συμφώνως Pv μεγαλύνομεν] μακαρίζομεν Στ Ha A Cn Pv Φ μακαρίζωμεν Sc 213-218 troparium om. Ha Cn 213 Χειμάρρουν Στ Pv Sc Φ τῆς τρυφῆς Φ ἀπολαύων A 214 κληροῦσα Στ 215 ἀγγέλων Sc post ἀγγέλοις add. ὡς σεμνὴ Pv Sc Φ (cfr. v. 210) 216 καὶ ἀντιδόσεις Pv Sc Φ ἀντιλαμβάνεις Στ 218 μεγαλύνουσα] μεγαλομάρτυς σου Pv 219-224 troparium deest in A Sc Φ 221 μάρτυς] εἴδη Cn v. 222 τῆς σαρκὸς διαλυθέντων θεοφόρε Cn post θεωρεῖς add. πρὸς Pv διαλυθέντων pro διαλυθεισῶν: cfr. MITSAKIS, 158-159 223 τῆς ἀληθείας Cn

---

204 Hab. 3,3 213 cfr. Ps. 35,9 219-222 I Cor. 13,12

Χαρᾶς ἡμῖν πρόξενος ἡ μνήμη
τῆς σῆς ἐναθλήσεως ὑπάρχει,
ἣν τελοῦντας ἐν πίστει,
πρὸς Θεὸν ὡς παρρησίαν ἔχουσα, μάρτυς,
ῥῦσαι κινδύνων,
Εὐδοκία, ταῖς πρεσβείαις σου.

θεοτ. Ῥομφαῖαι ἐξέλιπον εἰς τέλος
ἐχθροῦ, θεομῆτορ· ἐκ γαστρός σου
ἀνατείλας Θεὸς γὰρ
τῇ βουλήσει τοῦ πατρὸς τούτου μετ' ἤχου
μνήμην καθεῖλε
διασώσας τὸ ἀνθρώπινον.

---

226 ἀθλήσεως Pv 227 τελοῦντες Pv Sc 228 ὡς om. Sc 230 ταῖς] σαῖς Cp ταῖς πρεσβείαις σου] παμμακάριστε Pv 231-236 θεοτ. vide p. 11 (app. crit.) 231 Ρομφαία ἐξέλιπεν A 232 σου om. Pv 234 τοῦ πατρὸς τῇ βουλήσει ... Ha Pv Sc Φ μετήχους Pv μετήχε Sc

---

231-235 Ps. 9,7

IN PROFESTUM TRANSFIGURATIONIS ET IN SANCTUM EUSIGNIUM MARTYREM

Synaxarium, 867-870: Ἄθλησις τοῦ ἁγίου μάρτυρος Εὐσιγνίου. Οὗτος ἦν τὸ γένος Ἀντιοχεύς, στρατιώτης γεγονὼς ἐπὶ Κώνσταντος τοῦ καλουμένου Χλωροῦ, πατρὸς τοῦ ἁγίου καὶ μεγάλου Κωνσταντίνου. Παρέτεινε δὲ ἐπὶ τῇ στρατείᾳ μέχρις Ἰουλιανοῦ τοῦ παραβάτου ἤδη δέκα καὶ ἑκατὸν ἐτῶν γεγονώς. Ἐν δὲ τῇ στρατείᾳ διαπρέψας ἔτη ἑξήκοντα, κατέστη τῷ Ἰουλιανῷ εἰς ἐρώτησιν καὶ διελέγξας αὐτὸν ὡς τὴν πάτριον παραβάντα εὐσέβειαν καὶ τὴν τοῦ Θεοῦ τιμὴν μεταγαγόντα ἐπὶ τὰ εἴδωλα ..., τοῖς μὲν ἄλλοις συνετὸς ἔδοξε καὶ διὰ μακρῶν χρόνων πραγμάτων καὶ ἱστοριῶν ἔμπειρος. Ὁ δὲ Ἰουλιανὸς μυκτηρίσας αὐτόν, ξίφει τὴν κεφαλὴν αὐτοῦ τμηθῆναι προσέταξε· καὶ οὕτως ἐπληρώθη αὐτοῦ ἡ ἐν Χριστῷ μαρτυρία.

Sinait. gr. 632	= Στ, ff. 28-30v
Paris. Coislin. gr. 218	= Ha, ff. 32-33v
Sinait. gr. 630	= Σδ, ff. 133-134
Mess. gr. 140	= O, ff. 100-101v
Paris. gr. 245	= Px, pp. 287-290

Ὁ κανὼν τῆς ἑορτῆς καὶ τοῦ ἁγίου φέρων ἀκροστιχίδα τήνδε·
Εὔσημον Εὐσίγνιον ἀθλητὴν σέβω.
⟨Ἐν τοῖς θεοτοκίοις·⟩ Γεωργίου.

Ἦχος β'.

ᾠδὴ α'. *Δεῦτε, λαοί,*
ᾄσωμεν ᾆσμα Χριστῷ τῷ Θεῷ

Ἐν τῷ φωτί,
τῷ τοῦ προσώπου σου, κύριε,

---

tit. Τῇ αὐτῇ ἡμέρα κανὼν τοῦ ἁγίου μάρτυρος εὐσιγνίου φέρων ἀκροστιχίδα τήνδε, ποίημα γεωργίου, εὔσιμον ... Στ Ὁ κανὼν τῆς ἑορτῆς καὶ τοῦ ἁγίου φέρων ἀκροστιχίδα τήνδε ... Ha Ὁ κανὼν φέρων ἀκροστιχίδα ... Σδ Px Κανὼν εἰς τὴν ἑορτὴν καὶ τὸν ἅγιον O, qui autem acrostichidem et nomen hymnographi Γεωργίου, ex θεοτ. deductum, in rubrica silet Ha Px, qui θεοτ. om., canonem anonymum tradunt; Σδ autem alia θεοτ. edita praebet, quae nullum nomen auctoris proferunt

heirm. α' EE 37, n. 51, Cosmae 2 κύριε τῷ τοῦ προσώπου σου Ha Σδ O Px

φῶς νοητὸν ὀψόμεθα,
προεορτάζοντες
τὴν φανεῖσάν σου δόξαν
ἐν τῇ μεταμορφώσει
τοῖς ἀποστόλοις σου.

Ὑπερφαὴς
ἔλαμψας ἐν τῇ τῆς πλάνης νυκτὶ
φωστήρ, σοφὲ Εὐσίγνιε,
ἀκτῖνας ἅπασι
φαίνων ὁμολογίας
τῆς πίστεως τοῦ Χριστοῦ
καὶ ἐπιγνώσεως.

Σὺ ἀληθοῦς
πίστεως νάμασιν, ἔνδοξε,
ἐκ βρέφους ἀρδευόμενος,
εἰς τελειότητα
μαρτυρίου ἀνήχθης
καὶ μετέστης ἀγαθῶν
πλήρης πρὸς κύριον.

Ἡ ἐκ πολλοῦ
χρόνου σοι συναθροισθεῖσα, σοφέ,
γνῶσις Θεοῦ ἐξήλεγξε
νεανιεύουσαν
πλάνην τῶν ἀσεβούντων
καὶ τοῦ πάντων δεσπότου
πίστιν ἐτράνωσεν.

θεοτ. Γνόντες Θεόν,
δέσποινα, τὸν σαρκωθέντα ἐκ σοῦ
δι' ἄκραν ἀγαθότητα,

8 Ὑπερφαεὶς O 15 ἀληθῶς Px 22-28 troparium desideratur in O ante v. 22 signum θεοτ. in Px exaratum 24 Θεοῦ in margine eadem manus add. in Στ 26 ἀσεβούντων] ἀσεβοὺν Στ ἀνομούντων Ha Σδ Px 28 ἐτράνωσας Px 29-35 θεοτ. deest in Ha Px; aliud Σδ tradit Τίς ἐξει-πεῖν/σοῦ κατ' ἀξίαν δυνήσεται MR III, 13

12-14 cfr. Eph. 4,13

πλάνης ἐρρύσθημεν
ἀθεΐας καὶ πόθῳ
κυρίως σε ὑμνοῦμεν
θεοκυήτορα.

ᾠδὴ γ'. *Στερέωσον ἡμᾶς*

Μετάρσιον τὸν νοῦν
ἡμῶν, κύριε,
γενέσθαι
ἀξίωσον καὶ τὴν αἴγλην
τοῦ προσώπου σου ἰδεῖν νοητῶς
καὶ ἡμᾶς ὡς τοὺς φίλους σου εὐδόκησον.

f. 28v || Οἱ λόγοι σου, σοφέ,
ὡς πῦρ ὤφθησαν
ἀνόμων
φλέγοντες τὰς δυσφημίας,
τοῖς πιστοῖς δὲ φῶς, Εὐσίγνιε,
τῆς Χριστοῦ ἀληθείας ἀπολάμποντες.

Νομίμως ἐναθλῶν,
ἀνόμους ἤλεγξας
ἐν λόγοις
καὶ ἔργοις καὶ εὐνομοῦντας
ἐβεβαίωσας, Εὐσίγνιε,
εἰς τὴν πίστιν Χριστοῦ καὶ τὴν ἐπίγνωσιν.

θεοτ. Ἐλύθη τῆς ἀρᾶς
τὸ ἐπιτίμιον
τῆς πάλαι,

35 θεοχαρίτοτε O
heirm. γ' EE 39, n. 53, Cosmae 41 εὐδόκησεν Στ ἀξίωσον O 47 ἀπολάμποντα O 53 εἰς τὴν ἐπίγνωσιν καὶ τὴν πίστιν χριστοῦ Στ 54-59 θεοτ. om. Ha Px; Σδ diversum profert Ὁ μόνος καθαρός, MR VI, 123

53 cfr. Eph. 4,13

παρθένε, τῶν προπατόρων
διὰ σοῦ καὶ εὐλογίας αὐτοῖς
ἀσφαλοῦς ἀπεγράφη τὰ ἐνέχειρα.

ᾠδὴ δ'. *Εἰσακήκοα, κύριε,*
τὴν ἀκοήν

Εὐφροσύνης, φιλάνθρωπε,
πλῆσον ἡμᾶς,
ἧς ἔδειξας τοῖς φίλοις,
ᾠδήν σοι προσάγοντας προεόρτιον.

Ὑπερβὰς τὰ ἀνθρώπινα
καὶ νοητῶς
συνὼν τοῖς ἀοράτοις,
καρτερίαν ἄσαρκον, μάρτυς, ἤνυσας.

Στρατευθέντα σε κύριος
ἐπὶ τῆς γῆς
τοῖς ὅπλοις τῆς οἰκείας
στρατείας, Εὐσίγνιε, κατωχύρωσεν.

Ἰσχυρὸν κατεπάλαισας
ἐν γηραιῷ

57 παρθένον O   59 ἀπεγράφη] ἐπεκράφη O
post oden γ' Σδ praebet κάθ. προεόρτιον: Ὁ ἀνελθὼν σὺν μαθηταῖς ἐν τῷ ὄρει MR VI, 336 et κάθ. τοῦ ἁγίου: Ἐναντίον ἀνόμων MR VI,321; Px tantum primum κάθ. tradit
heirm. δ' MR I, 96; idem deest in EE   61 πλῆσον] τυχεῖν Ha Σδ Px   62 φί-λ⟨οις⟩ litterae οις evanuerunt in O   63 προσάγοντα Ha   τὴν προεόρτιον Px   64 Ὑ⟨περ⟩βὰς litterae περ non leguntur in O   ἀνθρώπινα] οὐράνια Ha Σδ O Px   71 στρατειάς Στ   στρατιάς O   72-75 tropario caret O   73 γεηρῷ Στ

72-75 B. Latyšev, *Μαρτύριον τοῦ ἁγίου Εὐσιγνίου*, «Žurnal Ministerstva narodnago prosvěščenia» n.s. 55 (1915 febr.) sect. class. philol., 83^{7-19}: τότε ... ὁ Ἰουλιανὸς ...ἤρξατο λέγειν πρὸς τὸν μάρτυρα· «οἶδα μὲν ἄνδρα σε εἶναι γηραλέον, μὴ χρῄζοντα παραινέσεως, ἀλλὰ τῆς ἑαυτοῦ ἀνασχέσθαι γνώμης καὶ πείθεσθαι βασιλεῦσιν. Πείσθητι οὖν καὶ ἀπόστα τοῦ ἐσταυρωμένου καὶ θῦσον τῷ μεγάλῳ θεῷ Διῒ καὶ δοθήσεταί σοι ἔπαινος ... καὶ ζωή σοι χαρισθήσεται...». Εὐσίγνιος λέ-

ἐχθρὸν σώματι, μάρτυς,
νεαζούσῃ γνώμῃ καὶ γενναιότητι.

θεοτ. Ὡραιότατος ἥλιος
ἐκ σοῦ, ἁγνή,
Χριστός, διανατείλας,
αὐτοῦ ἐπιγνώσει ἡμᾶς ἐφώτισεν.

ᾠδὴ ε'. *Ὁ τοῦ φωτὸς χορηγὸς*

Γνόφον σαρκὸς διελθεῖν
καὶ τῷ φωτί σου προσδραμεῖν, κύριε,
καὶ τὰς αὐτοῦ
f. 29 δέξασθαι ‖ ἀκτῖνας
ἀξίωσον ἡμᾶς,
προεόρτιόν σοι
προσάγοντας αἴνεσιν.

Νύκτα τῆς πλάνης φυγὼν
καὶ ἀληθείας τῷ φωτί, ἔνδοξε,
περιλαμφθείς,
τῆς δικαιοσύνης
τὸν ἥλιον, Χριστόν,
εἶδες συνεργόν σοι
ἐν ἄθλοις, Εὐσίγνιε.

Ἰσχὺν καὶ κράτος, σοφέ,
ἐν ἀσθενείᾳ τῆς σαρκὸς ἔλαβες
παρὰ Χριστοῦ·
διὸ πολεμίοις

76-79 θεοτ. deest in Ha Px; Σδ diversum θεοτ. servat Δυσωπουμέν σε, ἄχραντε, MR III, 15   78 ἐξανατείλας O
heirm. ε' EE 38, n. 51, Cosmae   92 εἶδες] εἶχες Ha Σδ Px   94-100 troparium om. O

γει· «ἄκουσον μετὰ πάσης σεμνότητος, ὦ καῖσαρ· οὐκ ἀρκεῖ τῷ διαβόλῳ ὅτι καὶ σὲ ἀνέσπασεν ἀπὸ τοιαύτης δόξης καὶ σωτηρίας καὶ ὑπόδικόν σε κατέστησε τοῦ αἰωνίου πυρός, ἀλλὰ συμβουλεύεις τὰ ὅμοιά σοι κακὰ ἐμοί, ὥστε κἀμὲ ἀποστῆσαι τῆς ἐλπίδος τοῦ κυρίου ἡμῶν· μὴ ὑπολάβοις, καῖσαρ· τοῦτο γὰρ οὐ ποιῶ... ».

79 cfr. Eph. 1,17-18   94-96 cfr. Eph. 1,19

ἀπρόσιτος ὤφθης
τοῖς ἀνθισταμένοις
τῷ κτίστῃ, Εὐσίγνιε.

θεοτ. Ῥάβδος ἰσχύος ἡμῖν
παρασχεθεῖσα ἐκ Θεοῦ, ἄχραντε,
τοὺς νοητοὺς
καὶ τοὺς ὁρωμένους
ἐχθροὺς τῇ κραταιᾷ
τροποῦσαι δυνάμει
τοῦ σὲ χαριτώσαντος.

ᾠδὴ ϛʹ. *Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος*

Ὁ τῆς δόξης βραχεῖάν σου αἴγλην, Χριστέ,
ἣν οἱ μαθηταί σου ἐχώρουν θεάσασθαι,
ἀνακαλύψας, φώτισον
καὶ ἡμᾶς τοὺς ἀεί σε δοξάζοντας.

Νοητῆς θυμηδίας πληρούμενος
ἐν τῇ τῶν δεινῶν ἐπινοίᾳ, Εὐσίγνιε,
ἀγῶνας χαίρων ἤνυες
ἀνθρωπίνην ἰσχὺν ὑπερέχοντας.

Ἀρετῶν εὐφορίαν συνέλεξας
τῇ πολυχρονίῳ ζωῇ σου, Εὐσίγνιε,
ἣν σὺν πόνοις ἀθλήσεως
οὐρανῶν εἰς ταμεῖα ἀπέθηκας.

θεοτ. Γεωθεῖσαν τὴν φύσιν τοῦ γένους ἡμῶν
τῇ τῶν χαμαιζήλων ἀγάπῃ, πανάχραντε,

---

98 ὀφθεὶς Ha 101-107 θεοτ. desideratur in Ha Px; aliud Σδ refert idest Σοὶ τῇ τεκούσῃ Χριστὸν MR III, 16
heirm. ϛʹ EE 34, n. 46, Joannis 108 Ὁ] Ἡ O 109 σου] ὡς Ha Σδ Px 111 δοξάσαντας O 114 ἤνυσας O 115 ὑπερέχοντες O ὑπεραίροντας Ha Σδ Px 116 εὐμορφίαν Px 118 συμπόνοις Ha σοι πόνοις O 120-123 θεοτ. om. Ha Px; aliud Σδ tradit Ἐκλεκτὴ τῷ Θεῷ χρηματίσασα MR VI, 274 120 Γεωθεῖσαν] Θεωθεῖσαν O

---

101 Num. 17,16 ss.

οὐράνωσας τῷ τόκῳ σου,
f. 29ᵛ τὰ νοού||μενα μόνα ποθοῦσαν ἀεί.

ᾠδὴ ζʹ. *Εἰκόνος χρυσῆς*
ἐν πεδίῳ Δεηρᾷ

Θεοῦ σε υἱὸν
σὺν τοῖς θείοις μαθηταῖς,
Χριστέ, εἰδότας
καὶ οὐρανόθεν μαρτυρούμενον
ὑπὸ συνθρόνου γεννήτορος,
λάμπρυνον ἡμᾶς τῇ σῇ αἴγλῃ
ἀνυμνοῦντας καὶ λέγοντας·
« εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

Λατρεύων Θεῷ
τῷ τῶν ὅλων ποιητῇ,
μάρτυς θεόφρον,
τῶν ποιημάτων τὰ σεβάσματα
ἀπεβδελύξω, Εὐσίγνιε,
καὶ ὑπεραθλῶν τοῦ δεσπότου,
ἀσιγήτως ἐκραύγαζες·
« εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

Ἡ χάρις Θεοῦ
ἐν ψυχῇ σου καθαρᾷ
κατασκηνοῦσα
γνώσεως οἶκόν σε, Εὐσίγνιε,
τῆς ἀληθοῦς κατεσκεύασε·

---

123 μόνα] πάντα O post oden ϛʹ Px profert κοντάκ. Ἐν τῇ θείᾳ σήμερον μεταμορφώσει et οἶκ. Ἀναμορφώσει θεϊκῇ AK 131-132
heirm. ζʹ EE 39, n. 53, Cosmae 125 σὺν] ἐν Ha Σδ Px 127 μαρτυρούμενος O 131. 140. 149 post εὐλογητὸς varie orat. detruncant cdd. 142 Θεοῦ] χριστοῦ Ha Σδ Px 144 κατασκηνώσασα Ha Σδ Px 145 οἴκου Ha

---

133-137 B. Latyšev, o.c., 83^{19-21}: « ... εἰδώλοις οὐ λατρεύω τῷ δὲ κυρίῳ μου Ἰησοῦ Χριστῷ ἄχρι τῆς ἐσχάτης μου ἀναπνοῆς λατρεύων προσκυνῶ ».

124-128 Matth. 17,5; Marc. 9,7-8; Luc. 9,34-35

διὸ τὴν ψευδώνυμον γνῶσιν
ἐξελέγχων, ἐκραύγαζες·
« εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

θεοτ. Ἰλύος παθῶν
καθαρθέντες οἱ πιστοί,
θεογεννῆτορ,
διὰ τοῦ τόκου τοῦ ἀχράντου σου,
τῆς ἀπαθείας τὸ ἔνδυμα
καὶ φωτὸς στολὴν νοουμένην
ἠμφιασάμεθα κράζοντες·
« εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

ᾠδὴ η΄. *Τὸν ἐν καμίνῳ τοῦ πυρὸς*

Τὴν προεόρτιον ἡμῶν
ὡς φιλάνθρωπος, Χριστέ, εὐχαριστίαν
εἰσδεξάμενος, θείῳ
φωτὶ καταύγασον,
ὡς πάλαι ἐν Θαβὼρ τοὺς φίλους σου,
ἡμᾶς ἀνυμνοῦντας
σὲ μόνον φωτοδότην.

Ἡ ἐνυπόστατος Χριστοῦ
σὲ σοφία θείας γνώσεως, θεόφρον,
ἐμφορήσασα, πάντων
f. 30 ‖ ἐχθρῶν σοφίσματα
διὰ σοῦ, Εὐσίγνιε, ἔλυσεν
ἀνυμνολογοῦντος
αὐτὸν εἰς τοὺς αἰῶνας.

---

147 post διὸ add. καὶ Ha Σδ Px 151-159 θεοτ. deest in Ha Px; dissimiliter Σδ servat Ῥομφαία ἡ πρὶν ETh 239 157 ἠμφιασάμενοι κράζοντα O 158 post εὐλογητὸς orat. abrumpitur in Στ O
heirm. η΄ EE 35, n. 47, Joannis 162 θείαν O 164 τοῖς φίλοις Ha O 166 σὲ] ὡς Px 167 χριστὸς Ha Σδ Px 172 ἀνυμνολογούντων Στ Ha Px ἀνυμνολογοῦντα Σδ O 173 αὐτὸν] χριστὸν Px post αὐτὸν cetera om. O

Νενεκρωμένον τὸν ἐχθρὸν
καρτερίᾳ σου στερρᾷ ὑπὸ τοὺς πόδας
τοὺς σοὺς τέθηκας, μάρτυς,
ἀναβοῶν ἐκτενῶς·
« ὑμνεῖτε τὰ ἔργα τὸν κύριον
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

θεοτ. Ὁ ἐκ μὴ ὄντων τὴν ἡμῶν
πλαστουργήσας ὡς Θεὸς φύσιν, παρθένε,
παραβάσει φθαρεῖσαν,
ταύτην ὡς εὔσπλαγχνος
ἀτρέπτως ἐκ σοῦ ἐνδυσάμενος,
καινουργεῖ καὶ δόξης
ἀξιοῖ ἀκηράτου.

ᾠδὴ θ΄. *Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον*

Σὲ τὸ ἀνέσπερον φάος
ἀνυμνῆσαι, οἰκτῖρμον,
ἀξίωσον ἡμᾶς εἰλικρινῶς
μετὰ τῶν σῶν μαθητῶν, Ἰησοῦ,
καὶ τὴν αἴγλην τοῦ θείου
προσώπου σου εἰσδέξασθαι, Χριστέ,
ἐν τῇ σῇ ὑπερλάμπρῳ
μεταμορφώσει, κύριε.

Ἐν τελειότητι, μάρτυς,
ἀρετῶν καταντήσας
καὶ πλήρης ἡμερῶν τῶν εὐσεβῶς
διανυσθέντων, Εὐσίγνιε,
γεγονώς, πρὸς τὸ πέρας
τοῦ μαρτυρίου ἔφθασας, Χριστὸν

174-180 tropario caret O 178 post ὑμνεῖτε varie orat. recidunt Σδ Ha Στ 181-187 θεοτ. desideratur in Ha Px; aliud Σδ profert Ὁ τοῦ Ἀδὰμ δημιουργὸς MR VI, 275; dissimiliter in O legitur Ῥεῖθρον ἰάσεων ἡμῖν MR III, 442
heirm. θ΄ EE 34, n. 46, Joannis 191 σῶν om. Στ 193 Χριστὲ] σωτὴρ Ha Σδ Px 199 διανυσθέντων pro διανυσθεισῶν: cfr. MITSAKIS, 158-159

πληρωτὴν τῶν ἀγώνων
ὑμνῶν καὶ μόνον κύριον.

Βέλη ἐνθέων σου λόγων
ἐν καρδίᾳ ἀνδρείως
κατέπηξας, Εὐσίγνιε σοφέ,
τοῦ δυσμενῶς παραβάντος Χριστοῦ
τὴν ἀμώμητον πίστιν
f. 30v καὶ κατ' αὐτοῦ μα‖νέντος καὶ πιστοὺς
ἀναιροῦντος τοὺς τοῦτον
δεσπότην μεγαλύνοντας.

Ὡς τελειώσας τὸν δρόμον
τῆς ἀθλήσεως, μάρτυς,
καὶ ἐν τῇ βασιλείᾳ οὐρανῶν
καὶ ἐν φαιδραῖς καταπαύσας σκηναῖς
καὶ ὁρῶν νοουμένως
τὴν δόξαν τοῦ δεσπότου καὶ Θεοῦ,
ὑπὲρ τῶν σὲ τιμώντων
ἱκέτευε, Εὐσίγνιε.

θεοτ. Ὑπερφυής σου ὁ τόκος,
ὑπὲρ λόγον ἡ δόξα
καὶ ὑπὲρ πᾶσαν ἔννοιαν βροτῶν
τὰ μεγαλεῖά σου, ἄχραντε,
ἐστὶ καὶ ἀνυμνεῖται
καὶ ἀνυψοῖ πρὸς πόθον θεϊκὸν
τοὺς ἐν πίστει ἀπαύστως
σὲ ὕμνοις μεγαλύνοντας.

---

203 ὑμῶν Ha ὑμνῶ O 204-211 troparium desideratur in O 207 δυσμενοῦς Σδ Px 220-227 θεοτ. om. Ha Px; aliud Σδ tradit Φωτιστικήν σε λυχνίαν MR VI,127

204-211 B. LATYŠEV, o.c., 83 [25-32]: ... καὶ λέγει ὁ Ἰουλιανός· « πείσθητι, Εὐσίγνιε, καὶ ἀπόστηθι τῆς αἱρέσεως τοῦ πρὸ τετρακοσίων τεσσαράκοντα ὀκτὼ ἐτῶν τεθνηκότος ἀνδρὸς καὶ προσκύνησον τοῖς ἀθανάτοις θεοῖς ». Εὐσίγνιος λέγει· « κατάμαθε τοὺς νόμους τῶν πρὸ σοῦ εὐσεβῶν βασιλέων, ὦ ἀσεβέστατε, τί περιέχουσιν· ὅτι ἀνὴρ ἀριστεὺς ἐγώ, ἐν πολέμοις πλεῖστα ἀνδραγαθήματα ἐκτελέσας, ὑπὸ σοῦ τοῦ εἰδωλολάτρου ἀδίκως φονεύομαι. Οὐκ αἰδῇ, ἀθλιώτατε, ὅτι ... Κωνσταντῖνος ... ἐγνώρισε τὸν δεσπότην Χριστὸν καὶ σὺ ἀπέστης ἀπ' αὐτοῦ; ».

---

212 II Tim. 4,7

6 AUG. *CANON V* (1)

IN TRANSFIGURATIONEM DOMINI

Synaxarium, 869-870: Ἡ ἀνάμνησις τῆς θείας μεταμορφώσεως τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. ... Ἡ δὲ ὑπόθεσις τῆς ἑορτῆς ἐστιν αὕτη. Ἐπειδὴ πολλὰ περὶ κινδύνων ὁ Χριστὸς διελέχθη πρὸς τοὺς μαθητὰς καὶ θανάτου καὶ τοῦ πάθους αὐτοῦ καὶ τῆς τῶν μαθητῶν σφαγῆς, καὶ τὰ μὲν ἦν ἐν τῷ παρόντι βίῳ καὶ ἐν χερσί, τὰ δὲ ἀγαθὰ ἐν ἐλπίσι, βουλόμενος καὶ τὴν ὄψιν αὐτῶν πληροφορῆσαι καὶ δεῖξαι, τίς ποτέ ἐστιν ἡ δόξα ἐκείνη μεθ' ἧς μέλλει παραγίνεσθαι, ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν· καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένετο λευκὰ ὡς τὸ φῶς· καὶ ὤφθησαν αὐτοῖς Μωυσῆς καὶ Ἠλίας μετ' αὐτοῦ συλλαλοῦντες. Παραλαμβάνει δὲ τῶν ἄλλων τοὺς τρεῖς μόνους ὡς ὑπερέχοντας. Ὁ μὲν γὰρ Πέτρος ἐκ τοῦ σφόδρα φιλεῖν αὐτὸν ἐδήλου τὴν ὑπεροχήν· ὁ δὲ Ἰωάννης ἐκ τοῦ σφόδρα φιλεῖσθαι, ὁ δὲ Ἰάκωβος ἐκ τοῦ δύνασθαι πιεῖν τὸ ποτήριον, ὅπερ καὶ ὁ κύριος ἔπιε. Μωυσῆν δὲ καὶ Ἠλίαν εἰς μέσον παράγει, τὰς οὐκ ὀρθὰς ὑπονοίας τὰς εἰς ἑαυτὸν παρὰ τοῖς πολλοῖς γινομένας διορθούμενος. Ἐπειδὴ γάρ τινες μὲν αὐτὸν Ἠλίαν ἔλεγον, ἄλλοι δὲ Ἱερεμίαν, διὰ τοῦτο τοὺς κορυφαίους ἄγει, ἵνα τὸ μέσον ἐντεῦθεν ἴδωσιν τῶν δούλων καὶ τοῦ δεσπότου καὶ ἵνα μάθωσιν ὅτι καὶ θανάτου καὶ ζωῆς ἐξουσίαν ἔχει.

Crypt. Δ.α. XII	= Cp, ff. 33v-38v
Paris. Coislin. gr. 218.	= Ha, ff. 44-47
Crypt. Δ.δ. II	= De, ff. 78-82
Mess. gr. 136	= Mf, ff. 254v-259

Canon secundum traditionem Crypt. Δ.α. XII = Cp, ff. 33v-38v

Ὁ κανών· ποίημα Ἀνδρέου.

Ἦχος δʹ.

ᾠδὴ αʹ. *Ὁ πατάξας Αἴγυπτον*
καὶ Φαραὼ τὸν τύραννον

Τὸ Μωσέως πρόσωπον
αὐτός, σωτήρ, ἐδόξασας
ὀφθεὶς ἐν τῷ Σιναίῳ
καὶ νῦν αὐτὸς εἶ ὁ ἐκλάμψας
ἐν τῷ Θαβώρ, κύριε,
καὶ δείξας ὅτι σὺ εἶ
ὁ καὶ τοῦ νόμου δοτήρ.

Τοὺς θεόπτας, κύριε,
τῶν μαθητῶν ἐξέστησας
τῇ σῇ μεταμορφώσει,
ἐν ᾗ παρέδειξας τὴν δόξαν
τῆς θεϊκῆς φύσεως,
f. 34 ἐκλάμψας || τῷ προσώπῳ
ὑπὲρ τὸν ἥλιον.

Μωυσῆς πιστοῦταί σου
τὴν ἐν σαρκὶ ἀνάδειξιν
ὀφθείς σοι ἐν τῷ ὄρει
βοῶν· « ἐγώ εἰμι ὁ πάλαι
τῷ Ἰσραήλ, κύριε,
κηρύξας σε προφήτην
ἀναστησόμενον ».

---

tit. Κανὼν ψαλλόμενος τῇ ἑσπέρᾳ ποίημα ἀνδρέου Cp   Κανὼν εἰς τὸ μεσονύκτιον Mf   nomen auctoris om. Ha De Mf
aliam oden αʹ Ha De Mf tradunt, cfr. pp. 60.72.77
heirm. αʹ EE 106, n. 150, Andreae; textum heirm. posterior manus in margine complevit in Cp

---

1-3 Ex. 3,1 ss.   13-14 Matth. 17,2

Ὁ τῆς δόξης κύριος,
τὸ τοῦ πατρὸς ἀπαύγασμα,
ἀκτῖνας ἀφθαρσίας
ἐκλάμψας σήμερον τῷ κόσμῳ
τῆς πατρικῆς φύσεως,
τὴν φύσιν τῶν ἀνθρώπων
μετεστοιχείωσεν.

τριαδ. Τῆς τριάδος ἕνα σε
καὶ πρὸ σαρκὸς γινώσκομεν,
ἀλλὰ καὶ μετὰ σάρκα
υἱὸν ἀΐδιον ἀχρόνως
ἐκ τοῦ πατρὸς λάμψαντα
καὶ πνεύματι ἁγίῳ
συνδοξαζόμενον.

θεοτ. Ξένον τόκον, ἄχραντε,
μόνη αὐτὴ συνήγαγες
τῇ φύσει τῶν ἀνθρώπων,
ἀσπόρως ἄτρεπτον τεκοῦσα
τὸν δι' ἡμᾶς, δέσποινα,
πτωχεύσαντα τὴν σάρκα
καὶ μὴ ἐκστάντα ὃ ἦν.

ᾠδὴ βʹ. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι Θεός,
ὁ θανατῶν καὶ ζωογονῶν

Σὺ εἶ τὸ ἄχρονον
φῶς τὸ ἐκλάμψαν ἐν Θαβὼρ
τοῖς μαθηταῖς σήμερον, σωτήρ,
καὶ τῆς ἀστέκτου σου δόξης

---

ode βʹ deest in Ha De Mf
heirm. βʹ EE 105, n. 148, Andreae

40-41 II Cor. 8,9

αὐγὴν παραγυμνώσας,
ἣν ἐν τῷ μέλλοντι πάλιν αἰῶνι
τηλαυγέστερον ἐκφάνῃς τοῖς πιστοῖς.

Δεῦρο εἰπὲ ἡμῖν,
Θεσβῖτα, τί πρὸς τὸ Θαβὼρ
τῷ Ἰησοῦ ἔλεγες ὀφθείς·
« ἐγώ », φησί, « τὴν τοῦ πάθους
ἐτύπωσα εἰκόνα,
τὴν πρὸς ἑσπέραν θυσίαν τελέσας
τῇ ἀπύρῳ τῶν σχιδάκων συμβολῇ ».

f. 34ᵛ ‖ Τί τὰ ἱμάτια
τὰ ἐξαστράψαντα ὡς φῶς
συμβολικῶς μάθωμεν, πιστοί·
τὰ κατ' ἐκεῖνον τὸν βίον,
ὡς οἶμαι, προδηλοῦσι,
τὸν ὑπερέκεινα πάσης ἐννοίας,
πεπραγμένα τῷ πατρὶ καὶ τῷ υἱῷ.

τριαδ. Πάντες ὑμνοῦμέν σε,
τριὰς ἀμέριστε, μονάς,
ζωοποιόν, ἄναρχον Θεὸν
ὡς ἐν τρισὶ τοῖς προσώποις,
μιᾷ δὲ τῇ οὐσίᾳ
ὑμνολογούμενον πάσῃ τῇ κτίσει
ἀγεννήτως, γεννητῶς, ἐκπορευτῶς.

θεοτ. * Χαῖρε, παράδεισε,
ἐν ᾧ τὸ ξύλον τῆς ζωῆς,
χαῖρε, πηγὴ βρύουσα τὸ φῶς,
χαῖρε, τὸ ἅγιον ὄρος,
ὃ εἶδεν ὁ προφήτης,
ἐξ οὗ ὁ λίθος ἐτμήθη, ἡ πέτρα
ἡ προχέουσα πταισμάτων ἱλασμόν.

---

49 ἐκφάνεις cd. 71-77 θεοτ. Theot. Marc., 240; AHG VIII, 257; X, 183-184 72 ᾧ] ἧ AHG X 77 προχεύουσα AHG X

53-56 III Regn. 18,33-38 57-58 Matth. 17,2 71-72 Gen. 2,8-9 73 Cant. 4,12.15 74-76 Dan. 2,34.45

ᾠδὴ γʹ. *Ἐστερεώθη ἡ καρδία μου ἐν κυρίῳ*

Μετεμορφώθης
οὐ κατ' ἔκστασιν, ἀλλὰ ξένην
παραδείξας μορφὴν τοῖς μαθηταῖς σου,
ὅτι εἷς καὶ ὁ αὐτὸς ὑπάρχεις υἱός,
ὁ ἐν ἑκατέραις
εἷς διαλάμπων ταῖς φύσεσιν.

Ἡ μὲν νεφέλη
τὴν τοῦ πνεύματος παρουσίαν,
ἡ φωνὴ δὲ τὴν πατρικὴν οὐσίαν
προετύπου τηλαυγῶς ἐν ὄρει Θαβώρ,
μεταμορφουμένου
τοῦ δι' ἡμᾶς κενωθέντος σαρκί.

« Τίς ἐν νεφέλαις
ἰσωθήσεται τῷ κυρίῳ; »
προφητεύει Δαβὶδ ὁ θεοπάτωρ,
f. 35 τὴν ἐν ὄρει τῷ Θαβὼρ ‖ τῶν σῶν προφητῶν
ξένην παρουσίαν
προδιαγράφων, Χριστὲ ὁ Θεός.

τριαδ. Ὡς τῆς τριάδος
ἕνα ὄντα σε τὸν σωτῆρα,
πατρικὴ σοι φωνὴ προσεμαρτύρει
καὶ υἱὸν ἀγαπητὸν ἐκάλει σε·
ἐν γὰρ τῇ νεφέλῃ
τὸ θεῖον πνεῦμα ἐδείκνυτο.

θεοτ. Κἂν ἐμορφώθη
τὸ ἀλλότριον ἐν γαστρί σου

---

aliam oden γʹ Ha De Mf servant, cfr. pp. 61.73.77
heirm. γʹ EE 105, n. 148, Andreae

84-87 Matth. 17,5; Marc. 9,7-8; Luc. 9,34-35 89 cfr. Philip. 2,7
90-91 Ps. 88,7 98-101 Matth. 17,5; Marc. 9,7-8; Luc. 9,34-35

ὁ Θεός μου, ἁγνὴ παρθενομῆτορ,
ἀλλ' οὐκ ἔσχεν ἡ τριὰς προσθήκην υἱοῦ
οὐδὲ διῃρέθη
ὁ εἷς εἰς δύο υἱοὺς ὁ Χριστός.

Κάθισμα.

Ἦχος γ'. *Τὴν ὡραιότητα*

Τῆς θείας δόξης σου,
σῶτερ, ἀπαύγασμα
....

ᾠδὴ δ'. *Τί ἐκβοᾷς,*
ὦ προφῆτα 'Αββακούμ,

Πέτρος ἰδὼν
τὴν ἀστράψασαν αὐγὴν
σὺν τοῖς τοῦ Ζεβεδαίου υἱοῖς ἐξέστη
καὶ πίπτοντες πρηνεῖς, ἄφωνοι,
οὐχ ὑπέφερον τὴν δόξαν
τῆς φανείσης ἀκτῖνος·
ἐξ οὗ καὶ ἀνέκραζε
Πέτρος εὐφραινόμενος·
« καλόν ἐστιν ὧδε εἶναι ἡμᾶς ».

Τίνι βοᾷς,
Πέτρε, τίνι προσλαλεῖς
« καλόν ἐστιν, εἰ θέλεις, νῦν ὧδε εἶναι »;
« Θεός ἐστι, Χριστὸς ἄτρεπτος
f. 35ᵛ τὴν ἡμῶν μετα||μορφώσας

κάθ. MR VI, 350 κάθ. 2 σῶτερ] ὄντως MR
aliam oden δ' Ha De Mf praebent, cfr. pp. 63.73.68
heirm. δ' EE 123, n. 169, Andreae; posterior manus heirm. in margine Cp complevit 121 μεταμοφώσας cd., sed manus posterior ρ supra lineam add.

108-113 Matth. 17,6-7; Marc. 9,6; Luc. 9,34 114-116 Matth. 17,4; Marc. 9,5; Luc. 9,33 117-119 Matth. 17,4; Marc. 9,5; Luc. 9,33

ἀνθρωπίνην οὐσίαν,
δι' ἣν καὶ ἐπτώχευσε,
Θεὸς ὤν, τὸ ἀλλότριον,
καὶ σπεύδω ἀεὶ συνεῖναι αὐτῷ ».

Φράσον ἡμῖν,
ὦ Θεσβῖτα 'Ηλιού,
ἐν Θαβὼρ τῷ κυρίῳ τί προσωμίλεις·
« ἐγώ », φησί, « πολλὰς ἔδειξα
μυστικὰς Χριστοῦ εἰκόνας,
τὴν τοῦ ὕδατος πάλαι
τρισσώσας ἐπίκλησιν
καὶ ἐν τῷ τῶν σχιδάκων σωρῷ
ὑψόθεν τὸ πῦρ σπασάμενος ».

Τίς τὴν αὐγὴν
τοῦ προσώπου σου, σωτήρ,
ἢ τὴν ἄφραστον δόξαν τῶν ἱματίων
ἰσχύσει κατιδεῖν ὄμμασι;
Μωυσῆς γὰρ ἐν Σιναίῳ
τὰ ὀπίσθια βλέπων
τῇ πέτρᾳ ἐκρύπτετο,
'Ηλίας δὲ ὡς ἐν ἅρματι πυρὸς
ἰδών σε ἀνελαμβάνετο.

τριαδ. Φῶς ὁ πατήρ,
φῶς ὁ Λόγος καὶ υἱός,
φῶς τὸ ἅγιον πνεῦμα· τὰ τρία φῶτα,
ἀλλ' ἓν φῶς ἐν τρισὶν ἄχρονον
καὶ ἀμέριστον τῇ φύσει,
ὡς αὐγὴ καὶ πηγαία
ζωὴ ἀγαθότητος
καὶ ἓν φῶς ἐν ἡλίοις τρισὶ
καὶ τρία ὡς ἐξ ἡλίου ἑνός.

---

133 τῷ] τῇ cd. 142 ἅρματι] αὔρα cd.

123-124 II Cor. 8,9 131-134 III Regn. 18,33-38 139-141 Ex. 33,9-23 142-143 IV Regn. 2,11

θεοτ. Χαῖρε, σκηνή,
χαῖρε, κλῖμαξ νοητή,
χαῖρε, κούφη νεφέλη, χαῖρε, λυχνία
θεία, χαῖρε, λαμπὰς ἔνδοξε,
χαῖρε, ἄρουρα καὶ βάτε,
χαῖρε, πύλη καὶ θρόνε,
χαῖρε, παράδεισε,
χαῖρε, ὄρος ἅγιον,
χαῖρε, Μαρία, μήτηρ Θεοῦ.

ᾠδὴ ε΄. *Τὸ φῶς τὸ ἀληθινὸν*
τὸ φωτίζον πάντα ἄνθρωπον

Τὸ φῶς τὸ ἐν τῷ Θαβὼρ
ἀστράψαν τοῖς ἁγίοις σου,
λάμψον καὶ ἡμῖν
τὴν δόξαν τὴν τοῦ κυρίου
καὶ ἀξίωσον ἡμᾶς, σωτήρ, ὡς ἀγαθός,
f. 36 τῆς ἀπροσίτου || δόξης τῆς σῆς ὡς εὔσπλαγχνος.

Τὸν ἕνα τῆς τριάδος
σὲ κηρύττειν ἐδιδάχθημεν
ἄναρχον υἱόν,
κἂν σάρκα τὴν ἐξ ἡμῶν
ἐμορφώθης δι᾽ ἡμᾶς· ἐν ὄρει τῷ Θαβὼρ
μετεμορφώθης, μόνε σωτήρ, ἐκλάμψας ὡς φῶς.

Ὁ πάσης ἀγαθότητος
πλήρης, Λόγε ἄναρχε,
λάμψον εἰς ἡμᾶς
τὸ φῶς τῶν σῶν ἐντολῶν

Ha De Mf aliam oden ε΄ referunt, cfr. pp. 64.74.78
heirm. ε΄ EE 104, n. 147, Andreae; textum heirm. posterior manus in margine Cp complevit

---

153 Ex. 25,9; 26,1 154 Gen. 28,12 ss. 155 Is. 19,1 Ex. 25,31; Zach. 4,2 157 Gen. 21,33 Ex. 3,2 158 Ez. 44,1-2 Dan. 7,9 159 Gen. 2,8 160 Dan. 2,34.45 172-173 Matth. 17,2

καὶ ἀπέλασον ἡμῶν ἀγνοίας τὴν ἀχλύν,
ὥσπερ τοῖς μαθηταῖς σου ἐν Θαβὼρ ἔφανας.

τριαδ. Πατέρα, υἱὸν
καὶ τὸ πνεῦμα προσκυνήσωμεν·
εἷς γὰρ ἐν τρισὶ
προσώποις φύσει Θεός,
ὡς ἐδίδαξεν ἡμᾶς ἐν ὄρει τῷ Θαβὼρ
ἡ πατρικὴ φωνὴ τῷ υἱῷ βοήσασα.

θεοτ. Θεὸς ὢν ἀψευδὴς
κατ᾽ οὐσίαν, ὤφθης ἄνθρωπος,
ἄναρχε υἱέ,
ἐκ μήτρας παρθενικῆς,
οὐ κατ᾽ ἔκστασιν λαβὼν τὴν φύσιν τοῦ Ἀδάμ·
ὡς γὰρ Θεὸς ἐν ὄρει Θαβὼρ ἐξέλαμψας.

ᾠδὴ ϛ΄. *Ζάλη με λογισμῶν κατέλαβεν*
ἐν πελάγει τοῦ βίου·
διό σοι, σωτήρ,
ὡς Ἰωνᾶς βοῶ·
« ἀνάγαγε, δέομαι,
ἐκ βυθοῦ κατωτάτου
καὶ ἐκ φθορᾶς, κύριε,
καὶ διάσωσόν με ».

Φῶς, σωτήρ, ὑπάρχων ἐξέλαμψας
ἐπὶ τῶν μαθητῶν σου
ἐν ὄρει Θαβὼρ
μεταμορφωθείς,
οἳ καὶ ἰδόντες, κύριε,
τοῦ προσώπου σου δόξαν

---

alia ode ϛ΄ in Ha De Mf legitur, cfr. pp. 65.74.79
heirm. ϛ΄ EE 130, n. 180, Andreae; textum heirm. integrum et simile ac AHG V, 137 invenies in Cp

---

184-185 Matth. 17,5; Marc. 9,7-8; Luc. 9,34-35 190 cfr. Gen. 2,21

συμβολικῶς ἔμαθον
τὴν σὴν βασιλείαν.

« Πήξωμεν τρεῖς σκηνὰς καὶ στήσωμεν »
ἐκβοῶντος τοῦ Πέτρου
« σοὶ μίαν », φησί,
« καὶ μίαν τῷ Μωσεῖ
f. 36v || καὶ μίαν ἔτι, εὔσπλαγχνε,
τῷ προφήτῃ Ἠλίᾳ,
ὅτι καλόν, κύριε,
ἡμᾶς ὧδε εἶναι ».

Φῶς τὸ ἀληθινόν, φιλάγαθε,
ὁ διττὸς τῇ οὐσίᾳ
καὶ προσώπῳ ἑνί,
σῶτερ, βροτωθείς,
ἅπαντας καταξίωσον
τῆς σῆς δόξης πλουσίως
συμμετασχεῖν μύσταις τε
καὶ τοῖς μαθηταῖς σου.

τριαδ. Ἄναρχον σὲ υἱὸν γινώσκομεν,
κἂν ἐγνώσθης ἐν χρόνῳ
Θεὸς ἐν σαρκὶ
ἐκ παρθενικῶν,
ἁγνῶν αἱμάτων, εὔσπλαγχνε,
μορφωθεὶς τὴν οὐσίαν
τὴν καθ᾽ ἡμᾶς, κύριε,
καὶ πτωχεύσας σάρκα.

⟨θεοτ.⟩ * Ὅλην μου προσλαβών, ὁ κτίστης μου,
τὴν φθαρεῖσαν οὐσίαν
καὶ ὅλον ἐμὲ
μετὰ τῶν ἐμῶν,
σῶτερ, φορέσας, ἔσωσας

224-231 θεοτ. AHG V, 138 signum θεοτ. deest in cd. 225 οὐσίαν] εἰκόνα AHG 228 σωτὴρ AHG

200-207 Matth. 17,4; Marc. 9,5; Luc. 9,33

τῇ κενώσει σου, δούς μοι
ἀντὶ φθορᾶς, κύριε,
τὴν ἀθανασίαν.

ᾠδὴ ζ΄. *Ὁ τῶν πατέρων Θεός,*
μὴ καταισχύνῃς ἡμᾶς,
ἀλλὰ δώρησαι ἡμῖν
ἐν κατανύξει βοᾶν σοι·
« εὐλογητὸς εἶ, κύριε ».

Ἐπὶ τὸ ὄρος Θαβὼρ
ὁ ἐν Σιναίῳ ποτὲ
θεόθεν τῷ Μωυσεῖ
διὰ συμβόλων λαλήσας
τοῖς μαθηταῖς ἐπέφανας.

Ὡς καὶ τοῦ νόμου δοτὴρ
καὶ νεκρῶν καὶ τῶν ζώντων
κυριεύων, Ἰησοῦ,
τῷ διφρελάτῃ Ἠλίᾳ
καὶ Μωυσεῖ νῦν ἐλάλεις.

Δεῦτε κατίδωμεν νῦν
τῆς δευτέρας τοῦ Λόγου
παρουσίας ἐν Θαβὼρ
f. 37 τὰ μυστικῶς || προδειχθέντα
τοῖς περὶ Πέτρον σύμβολα.

post oden ς΄ in Cp legitur: Ζήτει τὸ κοντάκιον εἰς τὸν ὄρθρον εἰς τὴν ς΄ ᾠδὴν τοῦ κανόνος: Ἐπὶ τοῦ ὄρους μετεμορφώθης
232-246 troparia odes ζ΄ desunt in De
heirm. ζ΄ EE 103, n. 145, Joannis; heirm. integrum Cp Mf tradunt, discrepantem autem in nonnullis verbis ab EE heirm. 4 κατανύξει] παρρησίᾳ Mf EE σοι om. Mf 5 εὐλογητὸς ὁ θεὸς Mf 232 Θαβὼρ] τὸ θαβὼρ Mf 233 ὁ] τὸν Ha Mf ποτὲ] πάλαι Ha Mf 234 θεόθεν τῷ] θεαθέντα Ha Mf 235 λαλήσας] ὁρῶντες Ha Mf 236 οἱ μαθηταὶ κατέπιπτον Ha Mf 237-246 troparia desunt in Mf 237 δωτὴρ Cp 240 τὸν διφρελάτην ἠλίαν Ha διφρελάτῃ (διφρελάτην): sic cdd. pro διφρηλάτῃ; cfr. THESAURUS ad lemma 241 καὶ μωυσῆν ἐκάλεσας Ha

233-235 Ex. 3,1 ss. 240-241 Matth. 17,3-4; Marc. 9,4-5; Luc. 9,30

εἱρμὸς ἄλλος. *Τῇ εἰκόνι τῇ χρυσῇ*
μὴ προσκυνήσαντες παῖδες

Ἐν τῷ ὄρει τῷ Θαβὼρ
μετεμορφώθης ἐν δόξῃ
τὴν θεϊκήν σου δεικνὺς φωτοχυσίαν
τῶν μαθητῶν τοῖς μυστικωτέροις,
ἵνα δείξῃς νοητῶς
τῆς δευτέρας πρὸς ἡμᾶς
ἐλεύσεως τὴν δόξαν,
ὅτι σὺ εἶ ὁ υἱὸς
ἀγαπητὸς τοῦ πατρός.

Ἐν νεφέλῃ φωτεινῇ
τὸν Μωυσῆν καὶ Ἠλίαν
ἐπὶ τοῦ ὄρους Θαβὼρ συνεκαλέσω
προεκφωνοῦντας τὴν διὰ πάθους
ὑπερένδοξον ταφὴν
καὶ τὸν ἄχραντον σταυρὸν
προλέγοντας κἀκεῖνα,
ἅπερ καὶ πάλαι, σωτήρ,
προανεφώνησαν.

Ἵνα δείξῃς, ἀγαθέ,
ὅτι αὐτὸς κυριεύεις
νεκρῶν καὶ ζώντων καὶ νόμου καὶ προφητῶν,
ἐξ ἑκατέρων προσεκαλέσω
ἐν τῷ ὄρει τῷ Θαβὼρ
καὶ ὑπέδειξας αὐτοῖς
τὴν ἄφραστόν σου δόξαν

---

heirm. alter EE 107, n. 150, Andreae 247-300 troparia εἱρμοῦ ἄλλου desunt in Ha Mf 249 φωτοχυσίαν] λαμπρότητα De 254 ὅτι υἱὸς ὁ αὐτὸς De 258 συνεκαλέσω] ἐκάλεσας De 259 πάθους] ξύλου De 262 προλέγοντες κἀκεῖνοι De 263 ἅπερ] ὥσπερ De 264 post προανεφώνησαν add. πολλοὶ De 265-282 troparia om. De

---

265-267 cfr. Rom. 14,9-10

τῆς ἀκηράτου μορφῆς
διὰ τῆς ἔξω στολῆς.

Ἐπὶ δύο καὶ τριῶν
ἀξιοπίστων μαρτύρων,
τοῦ Μωυσέως, Ἠλιοὺ σὺν τῷ Πέτρῳ,
διὰ νεφέλης ἐμαρτυρήθης
υἱὸς ὢν ἀγαπητὸς
τοῦ ἀχράντου σου πατρός,
οὐ τρέψας τὴν οὐσίαν,
κἂν ἐμορφώθης, σωτήρ,
τὴν χοϊκὴν εἰκόνα.

τριαδ. Τὸν πατέρα καὶ υἱὸν
καὶ τὸ πανάγιον πνεῦμα,
τὴν ἐν τριάδι μοναδικὴν οὐσίαν,
f. 37v θεολογοῦμεν ‖ καὶ προσκυνοῦμεν,
διαιροῦντες εὐσεβῶς
καὶ ἑνοῦντες συμφυῶς
καὶ κράζοντες ἀπαύστως·
« ἅγιος, ἅγιος,
ἅγιος εἶ, ὁ Θεός ».

θεοτ. Ὃν οὐκ ἔσπειρε πατὴρ
κυοφορήσασα Λόγον
ἐν τῇ γαστρί σου, ἁγνὴ παρθενομῆτορ,
ὡς βρέφος τοῦτον ἀγκάλαις φέρεις,
τὸν ἀμήτορα Θεὸν
καὶ ἀπάτορα υἱόν,
ὢ ξένου μυστηρίου,
εἰσαγαγοῦσα καινὴν
τῇ φύσει γέννησιν, ἁγνή.

---

276 τῷ] τοῖς cd. 288 καὶ συνάπτωντες πιστῶς De 294 ἁγνὴ παρθενομῆτορ] παρθένε ἄχραντε De v. 295 ἔτεκες λόγον ἀφθόρω τόκω De 299 καινὴν] καὶ νῦν De 300 ἁγνὴ] ἀεὶ De

---

277-279 Matth. 17,5; Marc. 9,7-8; Luc. 9,34-35

ᾠδὴ η'. *Γῆ καὶ πάντα τὰ ἐν αὐτῇ*

Φῶς ἐξέλαμψας ἐκ φωτὸς
ἄναρχος ἀνάρχου υἱὸς
μονογενὴς ὢν τοῦ πατρός,
εἷς ὑπάρχων, κἂν ἐσαρκώθης,
ὁ νῦν ἐν τῷ ὄρει
τῷ Θαβὼρ ἐξαστράψας ὡς ἥλιος
καὶ παραγυμνώσας σαυτὸν τοῖς μαθηταῖς σου.

Πῶς ἐξέλαμψεν ὡς τὸ φῶς
τὸ πρόσωπον ἐκεῖνο τῆς ζωῆς,
πῶς ἐλευκάνθησαν ἐν σοὶ
οἱ χιτῶνες ὑπὲρ χιόνα,
εἰ μὴ τὴν ἀκτῖνα
τῆς ἀστέκτου θεότητος ἔδειξας
τοῖς συναναβᾶσι, σωτήρ, ἐπὶ τοῦ ὄρους;

Ὃν ἑώρακε Μωυσῆς
τυπούμενον ἐν ὄρει τῷ Σινᾷ
τὴν τῆς σκηνῆς κατασκευήν,
νῦν ἐν ὄρει τῷ Θαβωρίῳ
ὁρῶν ἐμαρτύρει
ὅτι « σὺ εἶ ὁ πάλαι λαλήσας μοι
καὶ τὸν νόμον δούς μοι πλαξὶν ἐγγεγραμμένον ».

Ὃν ἑώρακεν Ἠλιοὺ
ὁ πήλινος ἐν ἅρματι πυρὸς
οὐρανοδρόμος γεγονώς,
νῦν ἐν ὄρει τῷ Θαβωρίῳ
ὁρῶν ἐμαρτύρει
ὅτι σὺ εἶ ὃν εἶδεν ἐν πνεύματι
ἐπὶ τῶν σχιδάκων ποτὲ πυρὸς ἐν εἴδει.

---

aliam oden η' proferunt IIa De Mf, cfr. pp. 68.75.80
heirm. η' EE 107, n. 150, Andreae

305-306 Matth. 17,2 310-311 cfr. Ps. 50,9 315-317 Ex. 25,9 320-321 Ex. 24,12-18; 31,18; 32,15-16 322-324 IV Regn. 2,11 327-328 III Regn. 18,36-38

f. 38 τριαδ. ‖ Εἷς ἀμέριστος ὁ Θεός,
ὃν τρέμουσιν ἀγγέλων στρατιαί,
ἄναρχος, ἄκτιστος τριὰς
ἀμερίστως διαιρουμένη,
ἣν ὑμνεῖ πᾶσα κτίσις
ἐν μονάδι οὐσίας κραυγάζουσα·
« ὦ τριάς, μονάς, ὁ Θεός, ἐλέησόν με ».

θεοτ. * Εἷς ὑπάρχεις μονογενής,
ἄνω εἷς καὶ κάτω ὁ αὐτός,
ἀμήτωρ ἄνω ἐκ πατρὸς
καὶ ἀπάτωρ ἐκ μητρὸς κάτω,
ἐν ᾗ ἐμορφώθης
τὸ ἀλλότριον, Λόγε, πτωχεύσας μοι
τὴν ταπεινωθεῖσαν φύσιν ἀναμαρτήτως.

ᾠδὴ θ'. *Ἐποίησε κράτος*
ἐν βραχίονι αὐτοῦ

Δεῦτε ἀναβῶμεν
εἰς τὸ ὄρος τὸ Θαβὼρ
καὶ ἴδωμεν τὴν δόξαν τοῦ προσώπου
τὴν λάμψασαν ἐν Θαβὼρ
ἐν τῇ δόξῃ τοῦ πατρὸς
καὶ φῶς προσλαβόμενοι φωτὶ
τὰς θείας ἀναβάσεις
ἐνστησώμεθα, πιστοί,
ἐν ταῖς διανοίαις.

Μηδεὶς στήτω κάτω
πρὸς τὸ ὄρος, ἀδελφοί,
ἀλλὰ πάντες ἀνέλθωμεν ἐκ πόθου
καὶ ἴδωμεν τοῦ Θεοῦ

336-342 θεοτ. AHG V, 143. 374 341 μου AHG V, 143
aliam oden θ' Ha Mf referunt, cfr. pp. 69.80
heirm. θ' EE 106, n. 149, Andreae; heirm. posterior manus in margine complevit in Cp 344 Θαβὼρ] τοῦ θεοῦ De 346 τὴν λάμψασαν] ἐκλάμψασαν De v. 347 τοῖς ἐγκρήτοις μαθηταῖς De v. 351 ταῖς ἡμῶν καρδίαις De 353 ὦ ἀδελφοὶ De 355 τοῦ Θεοῦ] τὴν δόξαν De

τὴν ἀστράψασαν αὐγὴν
καὶ φῶς προσλαβόμενοι φωτὶ
καὶ ἀπὸ δόξης δόξαν
μετερχόμενοι, πιστοί,
μυσταγωγηθῶμεν.

Ἀξίωσον πάντας
καὶ ἡμᾶς τοῦ φωτισμοῦ
τῆς γνώσεως, Χριστέ, τοῦ σοῦ προσώπου
καὶ δὸς ἡμῖν καθαροῖς
διανοίας ὀφθαλμοῖς
ἰδεῖν τὴν ὑπέρφωτον αὐγὴν
τῆς νοητῆς σου δόξης,
ἧς παρέδειξας ποτὲ
ἐν Θαβὼρ τῷ ὄρει.

Δεόμεθα πάντες
ἐν καρδίᾳ καθαρᾷ,
μετέχειν ἡμᾶς ποίησον τῆς δόξης,
ἧς ἔδειξας ἐν Θαβὼρ
f. 38v || τοῖς ἐγκρίτοις μαθηταῖς,
καὶ δὸς ἡμῖν γνῶσιν ἀληθῆ
καὶ βίον μετὰ λόγου,
ἵνα γνῶμέν σε Θεὸν
καὶ δουλεύσωμέν σοι.

Ὦ, τίς ἐπαξίως
ἀνυμνήσει γηγενῶν
τὴν δόξαν σου τὴν ἄστεκτον ἐκείνην,
ἣν ἔδειξας ἐν Θαβὼρ
τοῖς ἁγίοις μαθηταῖς;
ἀλλ' εὔσπλαγχνε, πρόσδεξαι, σωτήρ,
τὰς παρ' ἡμῶν δεήσεις
καὶ ἀξίωσον ἡμᾶς
τῆς σῆς βασιλείας.

---

v. 356 τὴν ἐκλάμψασαν αὐτὴν De 357 φῶς] νῦν De 359 πιστῶς De 368 ἣν De 369 ἐν τῷ θαβωρίω De 370-396 troparia et τριαδ. om. De 378 δουλεύσομεν cd.

τριαδ. Λατρεύσωμεν πάντες
τῇ τριάδι καὶ Θεῷ
ἀμέριστον αὐτὴν δοξολογοῦντες,
ὁμότιμον, συμφυῆ,
ὡς ἐδίδαξαν ἡμᾶς
οἱ θεῖοι ἀπόστολοι πιστῶς,
ἕνα Θεὸν πατέρα
καὶ Θεόν τε τὸν υἱὸν
καὶ Θεὸν τὸ πνεῦμα.

θεοτ. Θεοῦ τοῦ ὑψίστου
σοῦ ἡ ἄχραντος νηδὺς
εὐρύχωρον χωρίον ἀνεδείχθη,
ὃν καθορᾶν οὐ τολμᾷ
τῶν ἀγγέλων στρατιαί·
διό σε, πανάμωμε ἁγνή,
κυρίως θεοτόκον
ἀνυμνοῦμεν οἱ πιστοὶ
καὶ μακαριοῦμεν.

397-405 aliud θεοτ. in De invenitur, cfr. p. 76 400 τολμᾷ pro τολμῶσι: pindaricum schema

IN TRANSFIGURATIONEM DOMINI

Canon secundum traditionem Paris. Coislin. gr. 218 = Ha, ff. 44-47

Ὁ κανών· ⟨ποίημα Ἀνδρέου.⟩

Ἦχος δ'.

ᾠδὴ α'. *Ἄσομαί σοι, κύριε ὁ Θεός μου,*
ὅτι ἐξήγαγες λαόν

Δεῦτε συνανέλθωμεν τῷ σωτῆρι
ἐπὶ τὸ ὄρος τὸ Θαβὼρ
κἀκεῖ θεασώμεθα
τὸ κάλλος τὸ ἄφραστον
ἐκλάμπον τοῦ προσώπου αὐτοῦ.

Φυρμὸν ἢ ἀνάχυσιν οὐχ ὑπέστης
τῇ ἐξ ἡμῶν οὐσιωθεὶς
μορφῇ, ἀναλλοίωτε,
ἐν ᾗ μεταμορφούμενος
παρέδειξας τὴν δόξαν σου.

Τὴν δόξαν μὴ φέροντες τοῦ προσώπου
τοῦ ἀναλάμψαντος ὡς φῶς,
πρηνεῖς κατεφέροντο

---

tit. Ἕτερος κανὼν ... cd., qui nomen auctoris tacet
heirm. α' EE 103, n. 146, Germani 3 θεασόμεθα Ha 4 ἄφραστον] ἀνέκφραστον De 5 ἐκλάμψαν De 6-20 troparia om. De Mf 6 ὑφέστης Ha

---

13-14 cfr. Matth. 17,6-7

τῆς πίστεως οἱ πρόβολοι·
Θεὸν γὰρ εἶδεν ὅλως οὐδείς.

Τῷ πόθῳ ἑλκόμενος τῆς ἐν ὄρει
θεοφανείας, Ἰησοῦ,
ὁ Πέτρος ἐβόα σοι·
« ποιήσωμεν τρεῖς σκηνάς·
καλὸν γὰρ ὧδε εἶναι ἡμᾶς ».

⟨τριαδ.⟩ Ἕνα σε δοξάζομεν τῆς τριάδος,
μονογενῆ υἱὲ Θεοῦ,
κἂν σάρκα προσέλαβες,
καὶ μάρτυς ὁ καλέσας σε
υἱὸν ἀγαπητὸν ἐν Θαβώρ.

Ὡς μέθην τὴν ἔκστασιν ὑποστάντες
οἱ μαθηταὶ τοῦ Ἰησοῦ
ἐπὶ τὸ Θαβώριον,
πρηνεῖς κατεφέροντο·
Θεὸν γὰρ εἶδεν ὅλως οὐδείς.

ᾠδὴ γ'. *Ἐν κυρίῳ Θεῷ μου*
ἐστερεώθη ἡ καρδία μου

Καταλείψαντες τὸν χοῦν,
συνεπαρθῶμεν τοῖς Χριστοῦ μαθηταῖς
καὶ ἴδωμεν τὴν δόξαν
τὴν θεαθεῖσαν ἐν τῷ ὄρει Θαβώρ.

f. 44v || Τῷ Χριστῷ συγκαλοῦντι
ἐπὶ τὸ ὄρος τὸ Θαβώριον,

21-25 troparium τριαδ. videtur, sed nullo signo τριαδ. ostendunt cdd. 21 δοξάζωμεν De 22 μονογενῆ cdd. pro μονογενὲς: cfr. PSALTES, 152 υἱὲ] λόγε De 23 κἂν] καὶ κἂν Mf 26-30 troparium om. De
heirm. γ' EE 104, n. 146, Germani 35 συνκαλοῦντι De

15.30 Joh. 1,18; I Joh. ep. 4,12 19-20 Matth. 17,4; Marc. 9,5; Luc. 9,33 24-25 Matth. 17,5; Marc. 9,7-8; Luc. 9,34-35 26-29 cfr. Matth. 17,6-7

πιστοί, συναναβάντες,
ἐκεῖ ὀψόμεθα τὴν δόξαν αὐτοῦ.

Οἱ τοῦ ὄντως ἐραστοῦ
ἐπιθυμοῦντες τῆς λαμπρότητος
δεῦτε προσκολληθῶμεν
τοῖς περὶ Πέτρον καὶ Ἰάκωβον.

Οἱ τὸ κάλλος ἐκεῖνο
ἰδεῖν ποθοῦντες τὸ ἀμήχανον
κτησώμεθα καρδίας,
ἐν αἷς δεξόμεθα τὴν τούτου αὐγήν.

Τὸ μὲν ὄρος τὸ Σινᾶ
καπνῷ καὶ γνόφῳ καὶ θυέλλῃ ποτέ,
τὸ ὄρος τὸ Θαβὼρ δὲ
μαρμαρυγὰς ἡμῖν ἀστράπτει φωτός.

Ἐν τῷ ὄρει τῷ Θαβὼρ
μεταμορφούμενος, Χριστὲ ὁ Θεός,
παρέδειξας τὴν δόξαν
τοῖς μαθηταῖς τῆς σῆς θεότητος.

τριαδ. * Προσκυνοῦμέν σε, Χριστέ,
σὺν τῷ πατρί σου καὶ τῷ πνεύματι,
τριάδα ἐν μονάδι
καὶ ἐν τριάδι μονάδα, Θεόν.

θεοτ. Χαῖρε, νέα κιβωτὲ
τῆς διαθήκης, ἧς διέθετο
Θεὸς μετὰ ἀνθρώπων
τῇ μεσιτείᾳ σου, παρθένε ἁγνή.

---

38 ὀψώμεθα De Mf 39-42 troparium deest in De Mf 43 ἐκεῖνο] ποθοῦντες De 44 ποθοῦντες] ἐκεῖνο De 45 κτησόμεθα Ha 46 δεξώμεθα Mf τούτου αὐγὴν] δόξαν αὐτοῦ De 47-50 troparium ut θεοτ. perperam tradit Mf 49 τὸ Θαβὼρ δὲ] δὲ τὸ θαβὼρ Mf 50 ἡμῖν om. De ἀστράπτει φωτὸς] ἀπαστράπτουσα De ἀπαστράπτῃ φωτὸς Mf 51-62 troparium, τριαδ. et θεοτ. om. De Mf 55-58 τριαδ. AHG I, 6 58 καὶ ἐν μονάδι τριάδα θεὸν Ha τὴν τρισυπόστατον θεότητα AHG

47-48 Deut. 4,11; 5,22 59-60 Ex. 25,10 ss.

ᾠδὴ δ'. *Εἰσακήκοα*
τὴν ἀκοήν σου καὶ ἐφοβήθην

Δεῦρο σήμερον,
προκαθαρθέντες τὰς διανοίας,
πρὸς τὸ ὄρος τὸ Θαβώριον
πνευματικῶς συνανέλθωμεν.

Φῶς ἀπρόσιτον
τοῖς κορυφαίοις τῶν μαθητῶν σου
ἐν Θαβὼρ μεταμορφούμενος,
Χριστὲ σωτήρ, καθυπέδειξας.

Θείαν ἔλλαμψιν
ἐπισκιάσας τοῖς μαθηταῖς σου,
τῆς δευτέρας παρουσίας σου,
Χριστέ, τὴν δόξαν προέδειξας.

Εἰ καὶ ἔφαναν
αἱ ἀστραπαί σου τῇ οἰκουμένῃ,
ἀλλ' ἐν τῇ μεταμορφώσει σου
θεοειδέστερον ἔλαμψας.

Τὰ ἐνδύματα
τὰ λευκανθέντα ὑπὲρ χιόνα
μυστικὴν εἰκόνα φέρουσι,
Χριστὲ σωτήρ, τῶν κτισμάτων σου.

f. 45 || Σκοπευτήριον
τῆς πρὸς ἡμᾶς δευτέρας σου, Λόγε,
παρουσίας ἀνετύπωσας
τὴν ἐν Θαβὼρ μεταμόρφωσιν.

---

heirm. δ' EE 95, n. 134, Germani 63 Δεῦρο] Δεῦτε De Mf post σήμερον add. οἱ πιστοὶ De 64 προκαθαρθέντες om. De pro vv. 67-74 alia troparia De profert, vide pp. 73-74 71-74 troparium ut θεοτ. perperam Mf refert 74 παρέδειξας Mf 75-94 troparia, τριαδ. et θεοτ. om. De Mf

---

80 cfr. Ps. 50,9

τριαδ. * Προσκυνήσωμεν
τὴν ἐν τριάδι καὶ ἐν μονάδι
τρισυπόστατον θεότητα
ὁμοούσιον δύναμιν.

θεοτ. Χαίροις, ἄρουρα,
ἡ ἐν γαστρί σου ἄνευ ἀρότρου
τῆς ζωῆς ἡμῶν τὸν ἄσταχυν
ὑπὲρ φύσιν βλαστήσασα.

ᾠδὴ ε'. *Ὁ ἀνατείλας τὸ φῶς*
καὶ φωτίσας τὸν ὄρθρον

Συνεπαρθῶμεν, πιστοί,
τῷ μεταμορφουμένῳ
καὶ ἴδωμεν τὴν δόξαν
τῆς αὐτοῦ λαμπρότητος·
ὑπὲρ τὸν ἥλιον γὰρ ἐξέλαμψεν.

Πηξώμεθα, ὦ πιστοί,
τρεῖς σκηνὰς ἐν καρδίᾳ
τῷ μεταμορφουμένῳ,
νόμους τρεῖς εἰσάγοντες,
πνευματικόν, φυσικὸν καὶ γραπτόν.

Οἱ ἐν τῷ ὄρει Θαβὼρ
τῆς ἀφράστου σου δόξης
αὐτόπται γεγονότες,
τὴν αὐγὴν οὐ φέροντες,
εἰς γῆν, σωτήρ, ὕπνῳ κατεφέροντο.

Ὦ κορυφαία κρηπίς,
ὦ μακάριε Πέτρε,

87-90 τριαδ. AHG X, 260   90 καὶ ὁμοούσιον AHG
heirm. ε' EE 104, n. 146, Germani   95 Συνεπαρθῶμεν] Νῦν ἐπαρθῶμεν Mf   98 λαμπρότητος] θεότητος De   99 γὰρ ἐξέλαμψεν] ὅλον λάμψαντα De γὰρ ἔλαμψεν Mf   100 ὦ] οἱ De   101 τρεῖσκηνὰς in De, ubi manus posterior σ supra lineam add.   103 εἰσάγοντι Mf   v. 104 tantum πνευματικῶν καὶ γραπτῶν Mf   105-109 tropario caret Mf   107 ἀπτόπται De   108 οὐ] μὴ De   109 σωτὴρ] πρηνεῖς De   ὕπνῳ om. De   110-114 troparium deest in De

91 Gen. 21,33   99 Matth. 17,2   109 cfr. Matth. 17,6-7

τίς εἶδεν ἅπερ εἶδες,
τίς τοιαύτης γέγονε
θεοφανείας αὐτόπτης, οἵας σύ;

Ἀξίωσον καὶ ἡμᾶς,
Ἰησοῦ ὁ Θεός μου,
τῆς δόξης σου ἐκείνης,
ὅταν μέλλῃς ἔρχεσθαι
ἐν τῇ λαμπρότητι τῶν ἁγίων σου.

τριαδ. * Σὺν τῷ πατρὶ τὸν υἱὸν
καὶ τὸ ἅγιον πνεῦμα
δοξάσωμεν, βοῶντες·
« ἅγιος, ἅγιος,
ἅγιος εἶ, τριὰς ὁ Θεός ».

θεοτ. Καθὼς βοᾷ ὁ Δαβὶδ
« καταβήσεται » λέγων
« τὰ ἄνω μὴ σαλεύων
ὁ Θεὸς ἐν μήτρᾳ σου
ὡς ὑετὸς ἐπὶ πόκον, ἄχραντε ».

ᾠδὴ ς'. *Ὡς Ἰωνᾶν τὸν προφήτην*

Σὺ τῆς ἀφράστου σου δόξης
κοινωνοὺς ἀπειργάσω ἐν ὄρει Θαβὼρ
τῶν σῶν μαθητῶν τοὺς προκρίτους,
ἐφ' ᾧ μετεμορφώθης
ἀναλλοιώτως, σωτήρ.

f. 45v || Σὺ τὴν στολὴν τῆς σαρκός σου
ἐξ ἡμῶν ὑφανθεῖσάν σοι, Λόγε Θεοῦ,

114 οἵας] ὡς Mf   115-119 troparium ut θεοτ. perperam ostendit Mf   120-124 τριαδ., quod om. De Mf, in AHG X, 261 ed.   124 ὁ Θεός] καὶ μονὰς AHG   125-129 θεοτ. om. De Mf
heirm. ς' EE 103, n. 145, Joannis; heirm. integer in De   131 ἐν ὄρει Θαβὼρ] χριστὲ ὁ θεὸς De   133 ᾧ] ὧν Ha De   135 Σὺ] Σοῦ De

126-129 Ps. 71,6

ἐλεύκανας ἐπὶ τοῦ ὄρους,
τὴν ἄστεκτον ἐκείνην
παραγυμνώσας αὐγήν.

Τῆς κεκρυμμένης οὐσίας
ἀμυδρὰν λαμπηδόνα τοῖς σοῖς μαθηταῖς
ἐν ὄρει Θαβὼρ ὑπανοίξας,
ὑπέδειξας τὸ κάλλος
τὸ πατρικόν σου ἐν σοί.

Τὴν θεϊκήν σου ἀκτῖνα
μὴ ἐνέγκαντες τότε ἐν ὄρει Θαβὼρ
οἱ πρόκριτοι τῶν μαθητῶν σου,
συνέσχον τὰς αἰσθήσεις
ἀμαυρωθείσας, σωτήρ.

Τὸν Μωυσῆν καὶ Ἠλίαν
ὡς τοῦ νόμου τροφίμους παρέστησας,
δεικνὺς ὅτι σὺ κυριεύεις
νεκρῶν καὶ ζώντων, Λόγε,
μεταμορφούμενος.

τριαδ. * Τὴν παναγίαν τριάδα
ἐν μονάδι οὐσίας δοξάζομεν,
πατέρα, υἱὸν καὶ τὸ πνεῦμα,
τὰ τρία ἓν τῇ φύσει
ἀνακηρύττοντες.

θεοτ. * Ὡς ὑετὸς ἐπὶ πόκον
ὁ υἱὸς τοῦ Θεοῦ καταβέβηκεν

---

137 ὄρος Ha 139 αὐγὴν] σωτὴρ De 142 ὑπανοίξας] ὑποδείξας De vv. 143-147 om. De, qui autem vv. 140-142 et vv. 148-149 in unum troparium coniungit 145-149 troparium deest in De Mf 150-154 troparium ut θεοτ. perperam designat Mf 151 νόμου τροφίμους] κόσμου προφήτας De παρέστησας] ἀπέστειλας De ὑπέδειξας Mf 154 ὁ μεταμορφούμενος Mf 155-164 τριαδ. et θεοτ., om. in De Mf, ed. in AHG I, 12 invenies 156 δοξάσωμεν AHG 157 τὸ om. AHG 158 ἐν Ha 158-159 Θεὸν τὰ τρία φύσει/ἕνα κηρύττοντες AHG

152-153 Rom. 14,9 160-161 Ps. 71,6

ἐν μήτρᾳ παρθένου ἁγίας
καὶ σὰρξ ἀτρέπτως ὤφθη,
καθὼς εὐδόκησεν.

ᾠδὴ ζʹ. *Ὁ τῶν πατέρων Θεός,*
μὴ καταισχύνῃς ἡμᾶς

165-169 Ἐπὶ τὸ ὄρος Θαβὼρ
.... = Cp 232-236

« Θαβὼρ », φησί, « καὶ Ἑρμών,
ἐν τῷ ὀνόματί σου »
ὁ θεσπέσιος Δαβὶδ
« ἀγαλλιάσονται » πάλαι,
σωτήρ, προανεφώνησεν.

175-179 Ὡς καὶ τοῦ νόμου δοτὴρ
.... = Cp 237-241

Ὢ καθαρᾶς ἀληθῶς
καὶ φρενὸς καὶ καρδίας,
ὢ ἁγίων ὀφθαλμῶν
τῶν ἐν Θαβὼρ κατιδόντων
Χριστοῦ τὴν μεταμόρφωσιν!

185-189 Δεῦτε κατίδωμεν νῦν
f. 46 .... = Cp 242-246

Σὺ εἶ τὸ ἄχρονον φῶς,
ἡ αἰώνιος δόξα,
σὺ Θεὸς ἀληθινός,
σύ, ἡ ζωὴ τῶν ἀνθρώπων,
ἐλέησον τὸν κόσμον σου.

---

164 εὐδόκησεν pro ηὐδόκησεν: cfr. PSALTES, 203; MITSAKIS, 54 ηὐδόκησεν AHG heirm. ζʹ EE 103, n. 145, Joannis 165 Θαβὼρ] τὸ θαβὼρ Mf 173 πάλαι] πάλιν Mf 175-189 troparia om. Mf 175 δωτὴρ Cp 192 post σὺ add. εἶ Mf v. 194 εὐλογητὸς εἶ κύριε ὁ θεὸς τῶν et cetera om. Mf

---

170-173 Ps. 88,13

τριαδ. Τριάς, ἀμέριστον φῶς
ὁ πατὴρ προσκυνεῖται
καὶ υἱὸς καὶ τὸ πνεῦμα·
εἷς γὰρ Θεὸς ἐν τριάδι
ὑμνεῖται καὶ δοξάζεται.

θεοτ. Χαῖρε, τὸ ὄρος Σιών,
ἐξ οὗ λίθος ἐτμήθη,
καθὼς γράφει Δανιήλ,
ἄνευ χειρῶν, θεοτόκε,
ἐκ τῆς ἁγίας μήτρας σου.

ᾠδὴ η'. *Τὸν βασιλέα Χριστόν, ὃν ὡμολόγησαν*

Τῆς θεϊκῆς σου μορφῆς
αὔραν ἐξέλαμψας
Πέτρῳ καὶ Ἰακώβῳ
καὶ Ἰωάννῃ, κύριε, ἐν ὄρει τῷ Θαβώρ,
ἧς τὴν ἀκτῖνα μηδόλως
ἐνεγκεῖν ἰσχύσαντες, εἰς γῆν κατεβαροῦντο.

Τὸν Μωυσῆν ἐν Θαβὼρ
νόμου τὸν πρόμαχον
συνεκάλεσας, Λόγε,
καὶ προφητῶν τὸ ἄνθος, τὸν Θεσβίτην Ἠλιού,
ὃν πυρὸς ἁρματηλάτην
ὡς εἰς οὐρανοὺς ἀναγαγὼν ἐξῆρας πάλαι.

Τὸ ὑπερούσιον φῶς
δεῦτε ὀψόμεθα
καθαρᾷ τῇ καρδίᾳ
μαρμαρυγὰς ἀστράπτον τοῖς θεόπταις μαθηταῖς,

195-204 τριαδ. et θεοτ. om. Mf
heirm. η' EE 104, n. 146, Germani 206 ἐξέλαμψας ἄβραν De 208 κύριε om. De 210 ἰσχύωντες De 211-216 tropario caret Mf 212 πρόμαχον] παρωχέα De 215 ὃν καὶ πυρὸς De 216 ἀναγαγὼν] ἰησοῦ De 218 ὀψώμεθα Mf De 220 ἀστράπτοντα De θεόπταις] θείοις Mf

200-203 Dan. 2,34.45 215-216 IV Regn. 2,11

ὅπως καὶ τῆς οὐρανόθεν
πατρικῆς ἀκούσωμεν φωνῆς προσμαρτυρούσης.

Ὢ φωτοφόρου αὐγῆς,
ὢ θείας χάριτος,
ὢ ἀκτῖνος ἡλίου,
ἣν οἱ πηλώδεις εἶδον ἐξαστράπτουσαν αὐτοῖς!
τίς ἂν τὴν δόξαν ἐκείνην
ἐξειπεῖν δυνήσεται βροτῶν ἢ ἑρμηνεῦσαι;

τριαδ. * Ὢ παναγία τριάς,
ἡ ὁμοούσιος
καὶ ὁμότιμος δόξα,
πάτερ, υἱὲ καὶ πνεῦμα, σὲ δοξάζω καὶ ὑμνῶ
ἕνα Θεὸν ἀσυγχύτως
ἐν τρισὶν ὑμνούμενον προσώποις ἀμερίστως.

θεοτ. Ὥσπερ ἐν τόμῳ καινῷ,
ἐν τῇ νηδύϊ σου
f. 46v ἐγγραφεὶς, ‖ θεοτόκε,
ὁ σὺν πατρὶ καὶ πνεύματι ὑμνούμενος υἱὸς
ἔδειξεν ἀπαραλλάκτως
καὶ μετὰ τὴν σάρκωσιν τοῦ πατρὸς τὸν χαρακτῆρα.

ᾠδὴ θ'. *Μεγαλύνομεν πάντες*

Δεῦτε συνανέλθωμεν
τῷ μεταμορφουμένῳ
ἐπὶ τὸ Θαβώριον
τὴν δόξαν ὀψόμενοι,
δόξαν ὡς μονογενοῦς
τοῦ ἐξαστράψαντος φῶς τῇ σαρκὶ αὐτοῦ.

221 καὶ om. De 223-240 troparium, τριαδ. et θεοτ. om. De Mf 229-234 τριαδ. AHG I, 17 232 καὶ ὑμνῶ] εὐσεβῶς AHG 233 ἀσυγχύτως] ἀσιγήτως AHG 234 ἀμερίστως] εἰς αἰῶνας AHG
heirm. θ' EE 104, n. 146, Germani 244 ὀψώμεθα Mf 246 ἐναστράψαντος Mf

222 Matth. 17,5; Marc. 9,7-8; Luc. 9,35 235 cfr. Is. 8,1

Τὸν χοῦν ἀφέντες κάτω
μετὰ τῆς ἁμαρτίας,
τὸ πνεῦμα πτερώσωμεν,
τὸ ὄμμα πετάσωμεν
καὶ ὑψώσωμεν τὸν νοῦν,
ἵνα ὀψόμεθα τὸν μεταμορφούμενον.

Μηδεὶς ὅλως προσίτω
τῷ Θαβωρίῳ ὄρει
διστάζων ἢ δόλιος·
Θεὸς γὰρ καὶ ἄνθρωπος
ὁ φανεὶς τοῖς μαθηταῖς
οὐ φαντασίᾳ, ἀλλ' ἀληθείας πράγματι.

Διασχὼν τὴν νεφέλην
Μωυσῆς ἐν Σιναίῳ
Θεοῦ [γὰρ] τὰ ὀπίσθια
μόλις ἐθεάσατο,
οἱ Χριστοῦ δὲ μαθηταὶ
γυμνῇ τῇ ὄψει τῷ φωτὶ κατηυγάσθησαν.

Τὰ ἱμάτια, φησί,
τὴν μεγαλοπρέπειαν
καὶ τὴν πολυτέλειαν
τῶν ἤδη γεγονότων
καὶ τῆς νῦν διὰ σαρκὸς
οἰκονομίας τοὺς λόγους ὑπογράφουσιν.

Τὸ δὲ πρόσωπον, φησί,
τὸ ὡς ἥλιος λάμψαν,
τὸ φῶς διαγράφεται
καὶ δόξαν τὴν μέλλουσαν,
ἐν ᾗ ἐκλάμψουσιν ἐκεῖ
πάντες οἱ δίκαιοι καθάπερ ὁ ἥλιος.

---

v. 250 desideratur in Mf 252 ἵνα ὀψόμεθα (ὀψώμεθα Mf): cfr. PSALTES, 217; MITSAKIS, 71 253-270 troparia om. Mf 261 γὰρ metri et sensus causa expunxi 272 ἥλιον cdd. 275 ἐκλάμπουσιν Mf 276 ὁ om. Mf

---

259-260 Ex. 33,9-23 271-272 Matth. 17,2 275-276 Math. 13,43

Ταύτης ἀξιωθῶμεν
καὶ ἡμεῖς οἱ δοῦλοί σου
τῆς θείας ἐλλάμψεως
μετὰ τῶν μαθητῶν σου
ἐν τῇ λαμπρότητι, σωτήρ,
καὶ μετάσχωμεν τῆς ἀπροσίτου δόξης σου.

τριαδ. * Τὸν πατέρα ἄναρχον,
τὸν υἱὸν συνάναρχον,
τὸ πνεῦμα ὁμότιμον,
πιστοί, προσκυνήσωμεν,
τρισυπόστατον Θεὸν
καὶ ὁμοούσιον τριάδα ἀχώριστον.

θεοτ. Χαῖρε, κούφη νεφέλη,
χαῖρε, ὄχημα θεῖον,
f. 47 χαῖρε, θρό||νε πύρινε
καὶ κλῖμαξ οὐράνιε,
χαῖρε, σκέπη καὶ λιμήν,
θεογεννῆτορ, τὸ τεῖχος τῶν ψυχῶν ἡμῶν.

277-282 troparium ut θεοτ. perperam profert Mf 282 μετασχῶμεν Mf metri causa 283-288 τριαδ., quod om. Mf, in AHG I, 20 ed. 286 πιστῶς AHG 289-294 θεοτ. deest in Mf 291 θρόνε] θρό cd.

---

289 Is. 19,1 291 Dan. 7,9 292 Gen. 28,12-13

6 AUG. *CANON* V (3)

IN TRANSFIGURATIONEM DOMINI

Canon secundum traditionem Crypt. Δ.δ. II = De, ff. 78-82

Ὁ κανών· ⟨ποίημα Ἀνδρέου.⟩

Ἦχος δ'.

ᾠδὴ α'. *Ἄσομαί σοι, κύριε ὁ Θεός μου,*

Δεῦτε συνανέλθωμεν τῷ σωτῆρι
.... = Ha 1-5

Μωσῆν συλλαλοῦντά σοι ἐν τῷ ὄρει
καὶ τὸν Θεσβίτην Ἠλιού,
σωτήρ, ἀνεκάλεσας,
ὡς ὢν τοῦ νόμου κύριος
καὶ ζώντων καὶ νεκρῶν βασιλεύς.

⟨τριαδ.⟩ Ἕνα σε δοξάζομεν τῆς τριάδος,
.... = Ha 21-25

f. 78ᵛ ⟨θεοτ.⟩ * ‖ Χαῖρε, ἡ τὸν ἄναρχον ἀπειράνδρως,
ἐγκυμονήσασα υἱὸν

tit. tantum Ὁ κανὼν cd., qui canonem anonymum profert
heirm. α' ΕΕ 103, n. 146, Germani vv. 6-7 Μωσῆ τῷ συλλαλοῦντί σοι καὶ ἠλία / ἐπὶ τὸ ὄρος τὸ θαβὼρ Mf 8 συνεκάλεσας Mf 9 ὡς] ὁ Mf ante vv. 11-15, 16-20 signum τριαδ. et θεοτ. in De deest 16-20 θεοτ. AHG X, 254-255 17 ἐκκύμονήσασα De

6-8 Matth. 17,3; Marc. 9,4-5; Luc. 9,30 10 cfr. Rom. 14,9

ἀφράστως, παρθένε ἁγνή,
καὶ γάλα ποτίσασα
τὸν τρέφοντα τὰ σύμπαντα.

ᾠδὴ γ'. *Ἐν κυρίῳ Θεῷ μου*
ἐστερεώθη ἡ καρδία μου

Καταλείψαντες τὸν χοῦν,
.... = Ha 31-34

Τῷ Χριστῷ συγκαλοῦντι
.... = Ha 35-38

Οἱ τὸ κάλλος ποθοῦντες
.... = Ha 43-46

Τὸ μὲν ὄρος τὸ Σινᾶ
.... = Ha 47-50

ᾠδὴ δ'. *Εἰσακήκοα*
τὴν ἀκοήν σου καὶ ἐφοβήθην

f. 79 ‖ Δεῦτε σήμερον,
.... = Ha 63-66

Τίς μακάριος
συνεπαρθῆναι τὰς διανοίας
καὶ μικραῖς ἀκτῖσι δέξασθαι
μαρμαρυγὰς ταῖς φρεσὶν αὐτοῦ;

Ὢ μυστήριον
κεκαλυμμένον πρὸ τῶν αἰώνων,
ἐπ' ἐσχάτων φανερούμενον
πνευματικῶς εἰς τὸ ὄρος Θαβώρ!

heirm. γ' ΕΕ 104, n. 146, Germani
heirm. δ' ΕΕ 95, n. 134, Germani; exordium alii heirm. De profert, Εἰσακήκοα ὁ Θεὸς τὴν ἀκοήν σου, ΕΕ 107, n. 150, Andreae, qui autem metro tropariorum minime aptatur 29 ποθοῦντες] ἐκεῖνο Ha 37 Δεῦτε] Δεῦρο Ha post σήμερον add. οἱ πιστοὶ De 41 post μακάριος alia manus ἀληθῶς supra lineam add. in De 48 τὸ ὄρος Θαβώρ] τὸ θαβώριον Mf

Τίς τὴν ἄφραστον
καὶ δύσγραφον τοῦ σοῦ προσώπου
διηγήσεται λαμπρότητα
τοῦ ἐν Θαβὼρ ἐξαστράψαντος;

ᾠδὴ ε'. *Ὁ ἀνατείλας τὸ φῶς*

53-57 Συνεπαρθῶμεν, πιστοί,
.... = Ha 95-99

58-62 Πηξώμεθα οἱ πιστοὶ
f. 79ᵛ .... = Ha 100-104

63-67 Οἱ ἐν τῷ ὄρει τῷ Θαβὼρ
.... = Ha 105-109

68-72 Ἀξίωσον καὶ ἡμᾶς,
.... = Ha 115-119

ᾠδὴ ϛ'. *Ὡς Ἰωνᾶν τὸν προφήτην*

73-77 Σὺ τῆς ἀφράστου σου δόξης
f. 80 .... = Ha 130-134

78-82 Σὺ τὴν στολὴν τῆς σαρκός σου
.... = Ha 135-139

83-87 Τῆς κεκρυμμένης οὐσίας
.... = Ha 140-144

88-92 Τὸν Μωυσῆν καὶ Ἠλίαν
.... = Ha 150-154

ᾠδὴ ζ'. *Τῇ εἰκόνι τῇ χρυσῇ*
μὴ προσκυνήσαντες παῖδες

93-101 Ἐν τῷ ὄρει τῷ Θαβὼρ
f. 80ᵛ .... = Cp 247-255

---

50 δίγραφον cd.
heirm. ε' EE 104, n. 146, Germani 53 Συνεπαρθῶμεν] Νῦν ἐπαρθῶμεν Mf 58 οἱ] ὦ Ha Mf
heirm. ϛ' EE 103, n. 145, Joannis 78 Σὺ] Σοῦ De
heirm. ζ' EE 107, n. 150, Andreae

102-110 Ἐν νεφέλῃ φωτεινῇ
.... = Cp 256-264

⟨τριαδ.⟩ 111-119 Τὸν πατέρα καὶ υἱὸν
.... = Cp 283-291

⟨θεοτ.⟩ 120-128 Ὃν οὐκ ἔσπειρε πατὴρ
f. 81 .... = Cp 292-300

ᾠδὴ η'. *Τὸν βασιλέα Χριστόν,*
ὃν ὡμολόγησαν

129-134 Τῆς θεϊκῆς σου μορφῆς
.... = Ha 205-210

135-140 Τὸν Μωυσῆν ἐν Θαβὼρ
.... = Ha 211-216

141-146 Τὸ ὑπερούσιον φῶς
.... = Ha 217-222

f. 81ᵛ ‖ Δεῦτε, υἱοὶ τοῦ φωτός,
δεῦτε ὀψόμεθα
τοῦ ἡλίου τῆς δόξης
τὴν ἀπαυγὴν ἐκλάμπουσαν ἐπ' ὄψεσιν ἡμῶν,
ἔνδοθεν ἐκβλυζομένην
καὶ τῇ τῆς σαρκὸς ἐπιφανείᾳ χεομένην.

Τοῦ φωτισμοῦ σου, σωτήρ,
πάντας ἀξίωσον
τοὺς εἰς σὲ πεποιθότας
ὡς καὶ τοὺς σοὺς ἠξίωσας ἐγκρίτους μαθητὰς
ὅτε καὶ μετεμορφώθης,
ἀμυδρὰν αὐτοῖς αὐγήν, Χριστέ, παραγυμνώσας.

---

ante vv. 111-119, 120-128 signum τριαδ. et θεοτ. om. De
heirm. η' EE 104, n. 146, Germani 148 ὀψώμεθα cdd. 150 ἀπαυγὴν] αὐγὴν Mf ἐκλάμψασαν De 152 καὶ τῆς σαρκὸς ἐπιφάνειαν πληρούσης De 153-158 troparium ut θεοτ. perperam refert Mf 157 καὶ om. Mf 158 ἀμυδρὰν αὐτοῖς αὐγὴν] ἀμυδροᾶν αὐγῆς γὰρ De Χριστὲ] σωτὴρ Mf

ᾠδὴ θ'. *Ἐποίησε κράτος*
ἐν βραχίονι αὐτοῦ

159-167 Δεῦτε ἀναβῶμεν
.... = Cp 343-351

f. 82 168-176 || Μηδεὶς στήτω κάτω
.... = Cp 352-360

177-185 Ἀξίωσον πάντας
.... = Cp 361-369

⟨θεοτ.⟩ Ἐποίησε κράτος
ἐν βραχίονι Θεός·
οὐ γέγονεν ὡς σὺ γὰρ ἄλλη μήτηρ,
οὐχὶ οὖν εἰ μὴ σύ,
θεοτόκε, ἀψευδής·
διό, μεγαλύνοντες, σεμνή,
τὰς λαμπροφόρους πίστει
ἑορτὰς τοῦ σοῦ υἱοῦ,
σὲ μακαριοῦμεν.

---

heirm. θ' EE 106, n. 149, Andreae; sed illum De refert, Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατός, EE 106, n. 149, Andreae, qui autem metro troparioram aegre aptatur, sed manus posterior priora verba cancellavit et supra lineam correxit Ἐποίησε κράτος... ante vv. 186-194 signum θεοτ. om. De 189 ἢ cd.

186-187 Luc. 1,51; cfr. Ps. 88,11

IN TRANSFIGURATIONEM DOMINI

Canon secundum traditionem Mess. gr. 136 = Mf, ff. 254v-259

Ὁ κανών· ⟨ποίημα Ἀνδρέου.⟩

Ἦχος δ'.

ᾠδὴ α'. *Ἄσομαί σοι, κύριε ὁ Θεός μου,*
ὅτι διήγαγες λαὸν
ἐν μέσῳ θαλάσσης,
ἐκάλυψας δὲ ἅρματα
Φαραὼ καὶ τὴν δύναμιν.

1-5 Δεῦτε συνανέλθωμεν τῷ σωτῆρι
.... = Ha 1-5

6-10 Μωσῆ τῷ συλλαλοῦντί σοι καὶ Ἠλίᾳ
f. 255 .... = De 6-10

11-15 Ὡς μέθην τὴν ἔκστασιν ὑποστάντες
.... = Ha 26-30

⟨τριαδ.⟩ 16-20 Ἕνα σε δοξάζομεν τῆς τριάδος,
.... = Ha 21-25

ᾠδὴ γ'. *Ἐν κυρίῳ Θεῷ μου*
ἐστερεώθη ἡ καρδία μου,
δι' οὗ οἱ ἀσθενοῦντες
περιεζώσαντο δύναμιν.

21-24 Καταλείψαντες τὸν χοῦν,
.... = Ha 31-34

---

tit. tantum Ὁ κανὼν cd., qui nomen auctoris silet
heirm. α' EE 103, n. 146, Germani heirm. 2 ἐξήγαγες EE 3 ἐν μέσῳ θαλάσσης] δουλείας Αἰγύπτου EE 6 Μωσῆν συλλαλοῦντα σοι ἐν τῷ ὄρει De vv. 16-20 nullo signo τριαδ. ostenditur in Mf
heirm. γ' EE 104, n. 146, Germani heirm. 3 δι' οὗ] διὸ EE

25-28 Τῷ Χριστῷ συγκαλοῦντι

.... = Ha 35-38

f. 255v 29-32 || Οἱ τὸ κάλλος ἐκεῖνο

.... = Ha 43-46

33-36 Τὸ μὲν ὄρος τὸ Σινᾶ

.... = Ha 47-50

ᾠδὴ δʹ. *Εἰσακήκοα*
τὴν ἀκοήν σου καὶ ἐφοβήθην,
κατενόησα τὰ ἔργα σου
καὶ ἐδόξασά σε, σωτήρ.

37-40 Δεῦτε σήμερον,

.... = Ha 63-66

41-44 Φῶς ἀπρόσιτον

.... = Ha 67-70

45-48 Ὦ μυστήριον

f. 256 .... = De 45-48

49-52 Θεῖαν ἔλλαμψιν

.... = Ha 71-74

ᾠδὴ εʹ. *Ὁ ἀνατείλας τὸ φῶς*
καὶ φωτίσας τὸν ὄρθρον
καὶ δείξας τὴν ἡμέραν
δόξα σοι, δόξα σοι,
Ἰησοῦ, υἱὲ τοῦ Θεοῦ καὶ Λόγε.

53-57 Νῦν ἐπαρθῶμεν, πιστοί,

.... = Ha 95-99

58-62 Πηξώμεθα, ὦ πιστοί,

.... = Ha 100-104

---

29 ἐκεῖνο] ποθοῦντες De

heirm. δʹ EE 95, n. 134, Germani   heirm. 4 καὶ ἐξέστην, Κύριε. EE

heirm. εʹ EE 104, n. 146, Germani   heirm. 5 καὶ Λόγε om. EE

53 Νῦν ἐπαρθῶμεν] Συνεπαρθῶμεν Ha De   58 ὦ] οἱ De

63-67 Ὦ κορυφαία κρηπίς,

.... = Ha 110-114

f. 256v 68-72 || Ἀξίωσον καὶ ἡμᾶς,

.... = Ha 115-119

ᾠδὴ ϛʹ. *Ὡς Ἰωνᾶν τὸν προφήτην*
ἐλυτρώσω τοῦ κήτους, Χριστὲ ὁ Θεός,
κἀμὲ τοῦ βυθοῦ τῶν πταισμάτων
ἀνάγαγε καὶ σῶσον,
μόνε φιλάνθρωπε.

73-77 Σὺ τῆς ἀφράστου σου δόξης

.... = Ha 130-134

78-82 Σὺ τὴν στολὴν τῆς σαρκός σου

.... = Ha 135-139

83-87 Τῆς κεκρυμμένης οὐσίας

f. 257 .... = Ha 140-144

88-92 Τὸν Μωυσῆν καὶ Ἠλίαν

.... = Ha 150-154

Κάθισμα.

Ἦχος δʹ. *Κατεπλάγη Ἰωσήφ*

Ἐν τῷ ὄρει τῷ Θαβὼρ
μεταμορφούμενος, σωτήρ,
....

ᾠδὴ ζʹ. *Ὁ τῶν πατέρων Θεός,*
f. 257v *μὴ καταισχύνῃς || ἡμᾶς*

93-97 Ἐπὶ τὸ ὄρος [τὸ] Θαβὼρ

.... = Cp 232-236

---

heirm. ϛʹ EE 103, n. 145, Joannis   heirm. 5 μόνε] με EE   78 Σὺ] Σοῦ De

κάθ. MR VI, 356

heirm. ζʹ EE 103, n. 145, Joannis; heirm. integrum Mf profert, sed discrepantem in nonnullis verbis ab EE, vide p. 53   93 τὸ metri causa expungendum est

98-102 « Θαβώρ », φησί, « καὶ Ἑρμών,
.... = Ha 170-174

103-107 Σὺ εἶ τὸ ἄχρονον φῶς,
.... = Ha 190-194

Σὺ εἶ πηγὴ τῆς ζωῆς,
τοῦ πατρὸς ἡ σοφία
καὶ εἰκὼν καὶ χαρακτήρ,
ἐν ᾧ πάντες πέλουσιν
οἱ θησαυροὶ τῆς γνώσεως.

ᾠδὴ η'. *Τὸν βασιλέα Χριστόν, ὃν ὡμολόγησαν*

f. 258 113-118 Τῆς θεϊκῆς σου μορφῆς
.... = Ha 205-210

119-124 Δεῦτε, υἱοὶ τοῦ φωτός,
.... = De 147-152

125-130 Τὸ ὑπερούσιον φῶς
.... = Ha 217-222

131-136 Τοῦ φωτισμοῦ σου, σωτήρ,
f. 258v .... = De 153-158

ᾠδὴ θ'. *Μεγαλύνομεν πάντες*

137-142 Δεῦτε συνανέλθωμεν
.... = Ha 241-246

143-148 Τὸν χοῦν ἀφέντες κάτω
.... = Ha 247-252

---

heirm. η' EE 104, n. 146, Germani; heirm. integrum et similem ac EE tradit Mf
heirm. θ' EE 104, n. 146, Germani

---

108 cfr. Cant. 4,12.15

Μακάριος εἶ, Πέτρε,
μακάριοι κἀκεῖνοι
οἱ συναναβάντες σοι
καὶ συνθεασάμενοι
τὴν ἀστράψασαν αὐγὴν
ὑπὲρ τὸν ἥλιον Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

155-160 Τὸ δὲ πρόσωπον, φησί,
f. 259 .... = Ha 271-276

161-166 Ταύτης ἀξιωθῶμεν
.... = Ha 277-282

IN SANCTUM DONATUM EPISCOPUM EUROEAE IN EPIRO

Synaxarium, (Selecta) 643-644: Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας τοῦ μεγάλου Θεοδοσίου, ἐπίσκοπος ἐν πόλει καλουμένῃ Εὐροίᾳ κατὰ τὴν παλαιὰν Ἤπειρον. Ἔστι δὲ χωρίον τῆς αὐτῆς πόλεως Σωρεία καλούμενον, ἐν ᾧ ἦν πηγὴ ὕδατος, καὶ ὅσοι ἂν ἔπιον ἐξ αὐτῆς, πικρῷ θανάτῳ παρεδίδοντο. Μαθὼν δὲ τοῦτο ὁ ἁγιώτατος ἐπίσκοπος Δονᾶτος, ἀφίκετο πρὸς τὴν πηγὴν μετὰ τῶν συνόντων αὐτῷ κληρικῶν. Καὶ ἅμα τῷ καταλαβεῖν αὐτόν, βροντὴ γέγονε καὶ εὐθέως ἐξελθὸν τὸ θανατηφόρον ἐκεῖνο ζῷον ἀπὸ τῆς πηγῆς, συνήντησε τῷ μακαρίῳ ... Ὁ δὲ περιστραφεὶς καὶ ἰδὼν τὸ θηρίον, τὸ φραγγέλιον ... κατὰ τῶν νώτων τοῦ θηρὸς θέμενος, καιρίαν μάστιγα διὰ τούτου δέξασθαι τὸν θῆρα παρεσκεύασεν, ὃς καὶ παρευθὺ πεσὼν ἀπέψυξε. Τότε συλλέξαντες ξύλα οἱ τοῦ παραδόξου θαύματος ἐπόπται, κατέκαυσαν τὸ θηρίον· οὐδεὶς δὲ ἐτόλμα τοῦ ὕδατος ἅψασθαι. Ὁ δὲ ἅγιος εὐχὴν ποιήσας καὶ πρῶτος πιών, ἐπέτρεψε καὶ αὐτοῖς ἀδεῶς πίνειν· ἐξ οὗ πάντες πιόντες καὶ ἐμφορηθέντες, ἀβλαβεῖς εἰς τὰ ἴδια ἐπορεύοντο. Ταῦτα μαθὼν ὁ βασιλεὺς Θεοδόσιος, μετεκαλέσατο πάντας τοὺς ἐκεῖσε ἐπισκόπους καὶ ποῖός ἐστι Δονᾶτος ὁ ἐπίσκοπος ἐπυνθάνετο, ὁ τὸν δράκοντα θανατώσας διὰ τοῦ φραγγελίου. Οἱ δὲ ὑπέδειξαν αὐτὸν λέγοντες· « οὗτός ἐστι, βασιλεῦ. » Καὶ ὁ βασιλεὺς κατασπασάμενος αὐτὸν ἀπήγαγε πρὸς τὴν βασίλισσαν καὶ πεσόντες ἀμφότεροι, ἐπελάβοντο τῶν ποδῶν αὐτοῦ ἐκλιπαροῦντες καὶ λέγοντες· « δοῦλε τοῦ Θεοῦ, παρακλήθητι καὶ ποίησον μεθ' ἡμῶν ἔλεος. Μονογενὲς γὰρ θυγάτριον ἔχοντες ὑπὸ δεινοῦ πνεύματος ἐνοχλούμενον, μεγάλως τὴν ψυχὴν συντριβόμεθα ... ». Ὁ δὲ ἅγιος ἔφη· « θεαθήτω μοι ἡ παῖς ». Οἱ δὲ εἰσήγαγον τὸν ἅγιον πρὸς αὐτὴν καὶ ἐξετασθεὶς εὐθὺς ὁ δαίμων παρὰ τοῦ ἁγίου ἐδιώχθη ἀπὸ τῆς κόρης. ... Ὁ μακάριος οὗτος καὶ νεκρὸν ἀνέστησε, κωλυόμενον ταφῆναι, εἰ μὴ τὸ ὀφειλόμενον τῷ δανειστῇ χρέος ἀποδῷ· μετὰ δὲ τὸ διαλεχθῆναι τῷ δανειστῇ περὶ τοῦ ζητήματος, διαρραγῆναι καὶ τὸ τούτου χειρόγραφον καὶ αὐτὸν πάλιν κοιμηθῆναι προσέταξεν, ἄχρις ἂν ἡ κοινὴ πάντων ἀνάστασις γένηται. Ἐπεὶ δὲ καὶ ὑετὸς ἐπὶ γῆς οὐκ ἦν καὶ στεγανὸς ὁ οὐρανὸς πᾶσιν ἐφαίνετο, ... ὁ ἅγιος ἐξελθὼν αὐτίκα τῆς πόλεως, προσηύξατο καὶ τοσοῦτος ὑετὸς εὐθέως ἐρρύη ἔνδον τε καὶ ἔξω τῆς πόλεως καὶ ἐπὶ τῶν πέριξ χωρῶν, ὡς κατακλυσμόν τινα δοκεῖν αὐτὸν ἄντικρυς. ... Ἀπελθὼν δὲ καὶ οἰκοδομήσας τὸν ναὸν καὶ τάφον αὐτοῦ εὐτρεπίσας καὶ εἰς τέλειον γῆρας ἐλάσας, ἀπῆλθε πρὸς κύριον.

Mess. gr. 140 = O, ff. 196v-198v

Ὁ κανών, οὗ ἡ ἀκροστιχίς·
Τῷ παμμεγίστῳ προσλαλήσω Δονάτῳ· ⟨Ἰωσήφ.⟩

Ἦχος πλ. β'.

ᾠδὴ α'. *Ὡς ἐν ἠπείρῳ πεζεύσας*

Ταῖς φωτοβόλοις ἀκτῖσι
καταυγασθεὶς
τοῦ ἁγίου πνεύματος,
ἱεράρχα καὶ ποιμήν,
ἱερῶς ἐβίωσας, ἀστὴρ
γεγονὼς φωτοειδής·
ὅθεν τιμῶμέν σε.

Ὡς καθαρὸς ὑπεδέξω
χρῖσμα σεπτόν,
ἱερεὺς γενόμενος
τοῦ κυρίου ἀληθῶς,
καὶ λαὸν ἐποίμανας, σοφέ,
τῶν ἁγίων κοινωνός,
ὡραϊζόμενος.

Πῦρ ἡδονῶν καταφλέξας
τῷ δροσισμῷ
τῶν πολλῶν δακρύων σου,
ὑπεξαίρεις τὸν φλογμὸν
νοσημάτων ῥεύμασι τῶν σῶν
εὐπροσδέκτων προσευχῶν,
Δονᾶτε μέγιστε.

f. 197 θεοτ. ‖ Ἁγιωτέρα δειχθεῖσα
τῶν Χερουβίμ,
τὸν αὐτοῖς ἀπρόσιτον

---

tit. nomen Ἰωσήφ, in rubrica om., e litteris initialibus tropariorum odes θ' deducitur

heirm. α' EE 159, n. 224, Joannis 5 ἱερὸς 19-20 ... ταῖς σαῖς / εὐπροσδέκτοις προσευχαῖς

ὑπεδέξω ἐν γαστρὶ
καὶ φρικτῶς ἐκύησας, ἁγνή,
διασώζοντα ἡμᾶς
τῇ μεσιτείᾳ σου.

ᾠδὴ γ'. *Οὐκ ἔστιν ἅγιος ὡς σύ,*

Μεγίστοις πόνοις τῆς σαρκὸς
κλέος μέγιστον εὗρες,
ἱεράρχα Δονᾶτε·
διὰ τοῦτο τῶν βροτῶν
κουφίζεις διηνεκῶς
πάντα πόνον
θείαις μεσιτείαις σου.

Μαράνας πάθη τῆς σαρκὸς
καὶ νεκρώσας τελείως,
ἱεράρχα Δονᾶτε,
ἐξανέστησας νεκροὺς
ἐντεύξεσιν ἱεραῖς
ὑπὸ πάντων,
μάκαρ, δοξαζόμενος.

Ἐνθέως, πάτερ, προσευχῇ
ὕδωρ ζῶν ἀναβλύσαι
τὸν δεσπότην ᾐτήσω
εἰς τόπον ἁγιασμοῦ
καὶ νοσημάτων πολλοὺς
ἰατρεύεις·
ὅθεν εὐφημοῦμέν σε.

θεοτ. Γαστρί σου Λόγον τοῦ πατρὸς
ὑπεδέξω ἀρρήτως
ὑπὲρ νοῦν τε καὶ λόγον,

26 φρικτὸν
heirm. γ' EE 159, n. 224, Joannis 32 τοῦτο] σοῦ τὰ cd. 33 κουφίζω
43 προσευχὴν 44 ἀναβλύσας 47 πολλῶν

θεοτόκε, καὶ γαστρὶ
ἐκύησας ἐπὶ γῆς,
εὐσπλαγχνίας
κόσμον διασώζουσα.

Κάθισμα.

Ἦχος πλ. α'. *Τὸν συνάναρχον Λόγον*

Καθαρώτατον σκεῦος
τοῦ θείου πνεύματος
ἀνεδείχθης, Δονᾶτε
θεομακάριστε,
καὶ ἰάσεων πηγή·
διὸ βοῶμέν σοι·
« ἀρρωστίας τὸν φλογμὸν
τῶν προσδραμόντων σοι πιστῶς
ἀπέλασον, ἱεράρχα,
ὅπως δοξάζω ἀπαύστως
τὴν φωτοφόρον σου κοίμησιν ».

ᾠδὴ δ'. *Χριστός μου δύναμις*

Ἱστίῳ, ὅσιε,
σταυροῦ πτερούμενος,
ἀχειμάστως τοῦ βίου
τὸ χαλεπὸν
ἔπλευσας κλυδώνιον
καὶ πρὸς λιμένα τῆς ζωῆς
προσωρμίσθης ἀγαλλόμενος.

Σταγόσιν, ἔνδοξε,
θερμῶν ἐντεύξεων
τὸν αὐχμὸν ἀναστείλας

heirm. καθ. HR 230 5 πηγὴν
heirm. δ' EE 159, n. 224, Joannis

ὄμβρους τῇ γῇ
καρποφόρους ἤνεγκας,
τοῦ λυτρωτοῦ ἡμῶν Θεοῦ
ἐκπληροῦντος τὰς ἐντεύξεις σου.

Τὰ σὰ τεράστια,
τὰ κατορθώματα,
τὴν σεμνὴν πολιτείαν,
τοὺς ἱεροὺς
πόνους μακαρίζομεν,
f. 197v || πάτερ Δονᾶτε, εὐσεβῶς,
ἱερέων ἀκροθίνιον.

θεοτ. Ὡραίαν κάλλει σε
ὁ ὡραιότατος
εὑρηκὼς Θεὸς Λόγος,
τὴν σὴν νηδὺν
ᾤκησε, πανάμωμε,
καὶ συντριβέντας τοὺς βροτοὺς
καινουργεῖ σοι ὡς φιλάνθρωπος.

ᾠδὴ ε'. *Τῷ θείῳ φέγγει σου, ἀγαθέ,*

Πυρὶ τῶν θείων σου προσευχῶν
ὕλην πᾶσαν ἔφλεξας παθῶν
καινοτομήσας τὰ πέρατα
θαυματουργημάτων
ταῖς ἐπομβρήσεσι,
Δονᾶτε θεοφόρε·
ὅθεν τιμῶμέν σε.

Ῥήσει χειλέων σου ἱερῶν
δράκοντα ἀπέπνιξας, σοφέ,
ὑπὸ πάντων θαυμαζόμενος,

78 Ὡραῖος 84 καινουργεῖ σοι] κενουργήσει cd.
heirm. ε' EE 159, n. 224, Joannis 86 πᾶσαν iteratum 87 καινοτομήσας] κενοτομοῦντων cd. 92 Ῥήσεις

πρότερον νεκρώσας
σαρκὸς τὸ φρόνημα,
Δονᾶτε θεοφόρε,
πολλαῖς ἀσκήσεσιν.

Ὅσιος, ἄκακος καὶ εὐθύς,
πρᾶος, εὐσυμπάθητος δειχθεὶς
καὶ φωτισμοῦ θείου ἔμπλεως,
τοὺς ἐν ἀγνωσίᾳ
λαοὺς ἐφώτισας,
Δονᾶτε, μελιρρύτοις
διδασκαλίαις σου.

θεοτ. Σοφία, Λόγος ὁ τοῦ πατρός,
ᾤκησε τὴν μήτραν σου, ἁγνή,
καὶ ὤφθη τέλειος ἄνθρωπος·
ὅθεν σε ὡς τοῦ Θεοῦ
μητέρα ἄχραντον
συμφώνως ἀνυμνοῦμεν
καὶ μακαρίζομεν.

ᾠδὴ ϛ'. *Τοῦ βίου τὴν θάλασσαν*

Λαμπτὴρ ἐχρημάτισας
μυστικαῖς ἀνατολαῖς
φωταγωγῶν τὰ πέρατα
τῶν ἀρετῶν σου, πάτερ, καὶ τῶν πολλῶν,
Δονᾶτε, ἰάσεων·
διὰ τοῦτό σε πίστει
μακαρίζομεν.

Ἁγίαις ἐντεύξεσιν
ἐνοχλήσεως, σοφέ,
δαιμονικῆς ἀπήλασας
τινός, Δονᾶτε, ἄνακτος προσκληθεὶς

101 ἔμπλεος 109 σε] σου cd. 110 μητέραν cd.: sed cfr. PSALTES, 153-154; MITSAKIS, 25
heirm. ϛ' EE 159, n. 224, Joannis

ποτὲ τὸ θυγάτριον,
τοῦ Θεοῦ σε τῶν ὅλων
μεγαλύναντος.

Λυτήριον πρόκειται
νοσημάτων χαλεπῶν
τὸ ἱερόν σου τέμενος,
ἐν ᾧ πίστει προστρέχοντες τῶν δεινῶν
τὴν λύσιν λαμβάνομεν,
f. 198 ‖ ἱερῶς σε, Δονᾶτε,
μακαρίζομεν.

θεοτ. Ἡ ῥάβδος ἡ ἔντιμος
ἡ βλαστήσασα ἡμῖν
ξύλον ζωῆς, τὸν κύριον,
τὰς ἐκβλαστήσεις πάσας τῶν πονηρῶν
παθῶν ἀποξήρανον
τῆς ἐμῆς διανοίας,
παναμώμητε.

ᾠδὴ ζ'. *Δροσοβόλον μὲν τὴν κάμινον εἰργάσατο*

Σωφροσύνης καὶ πραότητος εἰκόνα σε,
Δονᾶτε, πάντες σέβομεν
ἱεράρχην τε
καὶ θαυμάτων πάντων αὐτουργόν,
παθῶν ἐλατῆρα ψυχικῶν
καὶ ἐλατῆρα πονηρῶν
πνευμάτων σθένει Θεοῦ.

Ὡς περίδοξος ὁ θεῖος, πάτερ, οἶκός σου
αἴγλῃ θαυμάτων πάντοτε
λαμπρυνόμενος
καὶ φωτίζων πίστει ἐν αὐτῷ

heirm. ζ' EE 159, n. 224, Joannis   151 ἐν αὐτῷ] σε αὐτὸν cd.

134-135 Num. 17,23; Hebr. 9,4   136 cfr. Gen. 2,9; Prov. 3,18

τοὺς σὲ μακαρίζοντας ἀεί,
ἀρχιερέων καλλονὴ
καὶ ἰαμάτων πηγή!

Δόξαν, αἴνεσιν Θεῷ ἐπὶ τῇ μνήμῃ σου
οἱ πιστοὶ ἀναπέμπομεν,
εὐφημοῦντές σου
τοὺς ἀγῶνας, μάκαρ, τοὺς λαμπρούς,
δι' ὧν βασιλείας οὐρανῶν
καὶ αἰωνίων ἀγαθῶν
κατηξιώθης ἀεί.

θεοτ. Ὁ ταῖς ἄνω στρατηγίαις ὢν ἀπρόσιτος,
ἐκ σοῦ σαρκὶ τικτόμενος
ὑπὲρ ἔννοιαν,
προσιτός μοι γέγονεν, ἁγνή·
διό σε ὡς τούτου ἀληθῆ
μητέρα οὖσαν οἱ πιστοὶ
μακαριοῦμεν ἀεί.

ᾠδὴ η'. *Ἐκ φλογὸς τοῖς ὁσίοις*

Νεκρωθείς, θεοφόρε,
κόσμῳ θελήματι,
ἐπικλήσεσι θείαις
νεκρὸν ἀνέστησας
καὶ τὴν τοῦ Θεοῦ
μαρτυρίαν ἐδήλωσας,
μέγιστε Δονᾶτε,
ἀρχιερέων κλέος.

Ἀναβάσεσι θείαις
καλλωπιζόμενος
καὶ ἐντεύξεσι, πάτερ,
ὡραϊζόμενος,

167 μητέραν cd.: cfr. notam ad v. 110 et Commentarium
heirm. η' EE 159, n. 224, Joannis

ὕδωρ προσευχῇ
ἀναβλύσαι πεποίηκας,
ὅπως διαμένῃ
κηρῦττον σοῦ τὸ θαῦμα.

Τοὺς μεγίστους ἀγῶνας
τῆς πολιτείας σου
καὶ θαυμάτων τὴν χάριν
τὴν ἀδαπάνητον
f. 198v || καὶ τὴν ἱερὰν
καὶ πανέορτον μνήμην σου,
μέγιστε Δονᾶτε,
τιμῶμεν εἰς αἰῶνας.

θεοτ. Ὥσπερ πύρινος θρόνος
φέρεις, πανάμωμε,
τὸν τῷ ῥήματι πάντα
ἀρρήτως φέροντα·
ὅθεν σε πιστῶς
ὡς τῶν ἄνω δυνάμεων
οὖσαν ἀνωτέραν,
ἁγνή, ὑμνολογοῦμεν.

ᾠδὴ θ'. *Θεὸν ἀνθρώποις*

Ἰδεῖν τὴν δόξαν
Θεοῦ ἠξίωσαι,
ἀπολυθείς,
Δονᾶτε, τοῦ γεώδους σου σώματος,
καὶ συνήφθης ὁσίων, ἁγίων χοροῖς,
μέλπων σὺν ἀσωμάτοις·
« ἅγιος, ἅγιος,
ἅγιος εἶ, ὁ πατήρ,
υἱὸς καὶ πνεῦμα τὸ ζῶν ».

---

184 κηρύττων
heirm. θ' EE 159, n. 224, Joannis 204 γεώδουσου

---

193 Dan. 7,9

Ὡς φῶς, ὡς ἥλιος
ἀνατείλασα
ἡ φωταυγής,
Δονᾶτε, καὶ πανέορτος μνήμη σου
καταυγάζει τοῦ κόσμου τὰ πέρατα
λύουσα τῶν δαιμόνων
σκότος βαρύτατον·
ὅθεν σε τιμῶμεν ἐν αὐτῇ
καὶ μακαρίζομεν.

⟨Σ— —́ — —́ —
— —́ — —́ — —
— — — —́
— —́ — — — —́ — — —́ — —
— — —́ — — —́ — — —́ — —
—́ — — — — —́ —
—́ — — —́ — —
—́ — — — —́ — — — —́
—́ — — —́ — —.⟩

Ἡ σὴ ἁγία
σορός, πανόλβιε,
διηνεκῶς
πηγάζει ὥσπερ νάματα θαύματα
καὶ ἐκπλύνει ψυχῶν ἀρρωστήματα,
ἣν καὶ περικυκλοῦντες,
χάριν καὶ ἔλεος
ἅπαντες ἀντλοῦμεν, εὐσεβῶς
ὑμνολογοῦντές σε.

θεοτ. Φωνὴν βοῶμέν σοι
χαριστήριον·
« χαῖρε, χαρά,
ἁπάντων τῶν κτισμάτων διάσωσμα,
χαῖρε, τεῖχος ἡμῶν ἀπροσμάχητον,
χαῖρε, ὁσίων δόξα,
χαῖρε, ἡ γέφυρα
ἡ πρὸς σωτηρίαν ἀληθῶς
κόσμον μετάγουσα ».

---

214 καταυγάζων πέρατα] πταίσματα cd. 219-227 troparium, Σ incipiens, desideratur; in suo loco scriba spatium vacuum reliquit 231 πηγάζει] αὐγάζει cd.

---

243 cfr. Gen. 28,12 ss.

7 AUG. *CANON* VII

IN SANCTUM DONATUM EPISCOPUM EUROEAE IN EPIRO

Crypt. Δ.δ. II = De, ff. 84-88

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Δονᾶτον ὑμνῶ τὸν σοφὸν θεηγόρον.
⟨Ἐν τοῖς θεοτοκίοις· Στεφάνου.⟩

Ἦχος δ'.

ᾠδὴ α'. *Χοροὶ Ἰσραὴλ ἀνίκμοις ποσὶν*

Δόξης ἐνθέου, Δονᾶτε σοφέ,
f. 84v πλήρης γεγονὼς ‖ καὶ Χριστῷ φαιδρῶς παριστάμενος,
⟨φωτι⟩σμόν μοι δοθῆναι
ἐξειπεῖν σου τοὺς ⟨πόνους⟩, μάκαρ, δυσώπει,
ἵνα γηθοσύνως μέλπω·
« ᾄσωμεν τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται ».

Ὄρπηξ καθάπερ ἐκ ῥίζης βλαστὸς
ἐν ταῖς διεξόδοις ἐκφυεὶς τῶν ὑδάτων
Χριστῷ τῷ Θεῷ προσηνέχθης
ὡς θυσία καθαρά, τῶν γεννητόρων
σὲ προσαγαγόντων τοῦ ψάλλειν·
« ᾄσωμεν τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται ».

---

tit. nomen auctoris, om. in rubrica, e litteris capitalibus θεοτ. deducitur heirm. α' EE 102, n. 144, Cosmae 3 ⟨φωτι⟩σμόν μοι: litteras evanidas sic mihi visum est restituere 4 ⟨πόνους⟩: litterae difficiles lectu 6.12.18.24 vv. intermittit scriba

---

8 Ps. 1,3

Νέος σφριγῶν τε τῷ σώματι
τὰς ἡδυπαθεῖς τῶν παθῶν ὁρμὰς ἐταπείνωσας
ἐγκρατείᾳ καὶ πόνοις
καὶ πρὸς ὕψος ἀπαθείας ἤλασας, μάκαρ·
ὅθεν σὺν ἀγγέλοις κραυγάζεις·
« ᾄσωμεν τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται ».

θεοτ. Στολὴν χρωσθεῖσαν ἐξ αἵματος
τοῦ παρθενικοῦ σου φορέσας ὁ κύριος
σαρκοφόρος προσῆλθεν,
τὴν φθαρεῖσαν τῶν ἀνθρώπων φύσιν ὁ πλάστης
σῶσαι βουληθείς, ἵνα μέλπῃ·
« ᾄσωμεν τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται ».

ᾠδὴ γ'. *Τόξον δυνατῶν ἠσθένησε*

f. 85 ‖ Ἄλλον Μωυσῆν τοῖς θαύμασι
καὶ τερατουργίαις σαφῶς διαλάμποντα,
ὦ Δονᾶτε, Χριστὸς δεικνύει
καὶ λαμπτῆρα φαεινότατον.

Τίς σου τὸ στερρὸν καὶ εὔτονον
τὸ ἐν ἐγκρατείαις καὶ χαμευνίαις καὶ στάσεσιν
ὁλονύκτοις οὐ κατεπλάγη
βλέπων, μάκαρ ἀξιάγαστε;

Ὅλον σεαυτὸν ἀνέθηκας,
πάτερ, διὰ βίου τελεωτάτου τῷ κτίστῃ σου·
ὅθεν πάσης ὕλης γεώδους
σαυτόν, μάκαρ, ἀπεκάθηρας.

θεοτ. Τίκτεις ὑπὲρ νοῦν, πανάμωμε,
τὸν τοὺς οὐρανοὺς σαφῶς ὑποστήσαντα,
τρέφεις γάλακτι τὸν τροφέα
τοῦ παντός, θεοχαρίτωτε.

---

13 Νέος σφριγῶν τε] Νεοσφριγῶντι cd. 17 κραυάζεις
heirm. γ' EE 102, n. 144, Cosmae

ᾠδὴ δ'. *Εἰσακήκοα*
τὴν ἔνδοξον οἰκονομίαν σου, Χριστὲ ὁ Θεός,

Νίκης εἴληφας
βραβεῖα τὸν ἀντίπαλον καταπαλαίσας ἐχθρὸν
καὶ τραυματίσας τοῦτον πανσόφως
νεκρὸν ἐβδελυγμένον, πάτερ, ἔδειξας,
πλήξας ἀκοντίοις τῶν πόνων σου.

f. 85ᵛ ‖ Ὕμνον ἄπαυστον,
Δονᾶτε, προσενήνοχας τῷ ποιητῇ καὶ Θεῷ
καί, κατὰ μόνας ἐν ταῖς ἐρήμοις
διεντυγχάνων, τούτῳ προσωμίλεις, Θεῷ,
βλέπων ὡς δι' ἐσόπτρου τρανῶς.

Μετὰ σώματος
ὡς ἄσαρκος ἐβίωσας, πάτερ μακάριε·
ὅθεν σε στίφη φρίττει δαιμόνων
καὶ τῶν θηρίων πλήθη κατεπτόηνται
ἄγγελον ἐν σώματι βλέποντες.

θεοτ. Ἐπεδήμησεν
ὁ κτίστης σῶμα γήινον ἐκ σοῦ φορέσας, ἁγνή,
οὐκ ἀλλοιώσας οὐδὲ συγχέας
τῆς θεϊκῆς οὐσίας τὴν ὑπόστασιν,
ἣν ἐκ τοῦ πατρὸς προσελάβετο.

ᾠδὴ ε'. *Ὁ τοῦ φωτὸς διατμήξας*

Νὺξ δαιμονώδης τὴν παῖδα
βασιλέως πάσχουσαν·
« Δονᾶτον μέγαν παρεῖναι· καὶ γὰρ
οὗτος διώξει », φησί, « συντόμως
ἐξ αὐτῆς τὸ δαιμόνιον ».

heirm. δ' ΕΕ 102, n. 144, Cosmae 49 τούτοις 55 βλέποντες: constructio ad sensum, δαίμονες subaudiatur: cfr. MITSAKIS, 157
heirm. ε' ΕΕ 102, n. 144, Cosmae

50 cfr. I Cor. 13,12

f. 86 ‖ Ὢ παραδόξων θαυμάτων!
πῶς κληθεὶς ὁ Δονᾶτος
τῇ θυγατρὶ τὴν ῥῶσιν παρέχει πιστῶς
τοῦ βασιλέως, ἀποδιώξας
ἐξ αὐτῆς τὸ δαιμόνιον;

Τὸν δανειστὴν διελέγχεις
μὴ ἐῶντα τὸ σῶμα
τοῦ ὀφειλέτου ταφῆναι, φωνῇ
τοῦτον ἐγείρας καὶ διαλύσας
τὸ παράνομον σύγγραμμα.

θεοτ. Φέρεις τὸν φέροντα πάντα,
γαλουχεῖς τὸν προόντα,
μητροπρεπῶς θηλάζεις, παρθένε, τὸν πρὶν
ὕδωρ ἐκ πέτρας λαὸν διψῶντα
δαψιλῶς ἐμφορήσαντα.

ᾠδὴ ς'. *Ἐν τῷ θλίβεσθαί με*
ἐκέκραξα πρὸς κύριον

Οὐκ ἐσάλευσάν σου
τὸ εὔτονον, μακάριε,
πειρασμοὶ δαιμόνων
ἀνενδότως προσπελάζοντες.

Νυσταγμὸν βλεφάροις,
οὐχ ὕπνον τοῖς σοῖς ὄμμασιν,
ἕως εὗρες τόπον
f. 86ᵛ τῷ κυρίῳ, ‖ μάκαρ, δέδωκας.

Στεναγμοὺς ἐκ βάθους
καρδίας πέμπων, φάλαγγας

heirm. ς' ΕΕ 102, n. 144, Cosmae heirm. 2 ἐκέκραξα] ἐβόησα ΕΕ
84 ἀνενδόντως 86 ὕπνον] ὕπνοσας cd.

79-80 Num. 20,8-11 85-86 Ps. 131, 4

τῶν δαιμόνων πλήττεις
καὶ σκεδάζεις, παμμακάριστε.

Οἱ τῇ θήκῃ, πάτερ,
προθύμως προσπελάζοντες
τῶν σεπτῶν λειψάνων
θυμηδίας ἀπολαύουσιν.

θεοτ. Ἀνερμήνευτόν σου
λοχείας τὸ μυστήριον·
τὸν γὰρ κτίστην πάντων
ἀπειράνδρως ἀπεκύησας.

ᾠδὴ ζ'. *Ἀβραμιαῖοι ποτὲ*
ἐν Βαβυλῶνι παῖδες
καμίνου φλόγα κατεπάτησαν,
ἐν ὕμνοις κραυγάζοντες·
«ὁ τῶν πατέρων
Θεός, εὐλογητὸς εἶ».

Φέγγει Χριστοῦ ἐλλαμφθείς,
καταφωτίζεις πάντας
τοὺς προσιόντας τῷ τεμένει σου
καὶ πόθῳ κραυγάζοντας·
« ὁ τῶν πατέρων ἡμῶν
Θεός, εὐλογητὸς εἶ ».

Ὁ μυστηπόλος Χριστοῦ
πρὸς εὐωχίαν ἄγει
πιστῶν τὰ πλήθη προτρεπόμενος
ἀνένδοτον, ἄπαυστον
ὕμνον προσάγειν Θεῷ
τῷ βασιλεῖ τῶν ὅλων.

---

92 σχεδάζεις 98 λογχείας
heirm. ζ' CPC 178, Cosmae; idem in EE deest 104 κραυάζωντας
106. 118. 124. 130 εἶ om.

f. 87 ‖ Νέων, γερόντων ἑσμός,
τῶν ἀνηλίκων παίδων
καὶ γυναικεία φύσις ἅπασα
ἑόρτιον ᾄσατε·
« ὁ τῶν πατέρων ἡμῶν
Θεός, εὐλογητὸς εἶ ».

Θρόνῳ Θεοῦ παραστὰς
σὺν ἀσωμάτων δήμοις,
αὐτὸν δυσώπει, παμμακάριστε,
σωθῆναι τοὺς ψάλλοντας·
« ὁ τῶν πατέρων ἡμῶν
Θεός, εὐλογητὸς εἶ ».

θεοτ. Νέος Ἀδὰμ γεγονὼς
ὁ τοῦ προτέρου πλάστης,
ἐκ σοῦ, παρθένε, βρέφος τίκτεται,
ᾧ πίστει κραυγάζομεν·
« ὁ τῶν πατέρων ἡμῶν
Θεός, εὐλογητὸς εἶ ».

ᾠδὴ η'. *Οἱ ἐν Βαβυλῶνι παῖδες*

Ἐν τῇ ἱερᾷ σου μνήμῃ,
Δονᾶτε, Χριστοῦ ἱερομύστα,
προστρέχοντες, ἐπαίνων τῶν σῶν
κροτοῦμεν τὰ τεράστια,
σορὸν δὲ τὴν σὴν τῶν λειψάνων
ἀσπαζόμενοι, ψάλλομεν·
« εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

Ἡ περιφανής σου μνήμη
ὡς ἥλιος πάντας δᾳδουχοῦσα
ἐπέστη καὶ πιστοὺς συγκαλοῦσα,
Δονᾶτε παμμακάριστε,
f. 87ᵛ γεραίρειν τοὺς πόνους, ‖ τοὺς καμάτους,

---

heirm. CPC 179, Cosmae; idem in EE deest vv. 137.144.158 excidit scriba 138 περιφανήσου

τὰ γέρα, κραυγάζοντας·
« εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

⟨Γ— — — — —́ — —́ —
—́ — — — —́ — — —́ —
—́ — — — —́ — — —́
—́ — — — —́ — —
—́ — — —́ — — —́ —
— —́ — — —́ — —
— —́ — —́ — — —́ — — —́ — — —́ — —.⟩

Οἱ ἐν συμφοραῖς καὶ νόσοις
καὶ θλίψεσι κάμνοντες ποικίλαις
ἀθροίσθητε τὴν μνήμην πιστῶς
τελέσαι τοῦ θεόφρονος
καὶ πάντων ῥυσθέντες τῶν δεινῶν
τῷ Χριστῷ ἀναμέλπετε·
« εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

θεοτ. Ὁ τοὺς οὐρανοὺς τανύσας
καὶ γῆν ἑδράσας Λόγος προῆλθεν
ἐκ σοῦ, παρθενομῆτορ ἁγνή,
θεώσας τὸ ἀνθρώπινον,
μὴ τρέψας τὴν φύσιν τῆς θεότητος,
ἄμφω δὲ μείνας ὁ αὐτός·
ὃν ὑμνοῦμεν πάντα τὰ ἔργα κυρίου τὸν κύριον.

ᾠδὴ θ'. Ὁ τόκος σου ἄφθορος ἐδείχθη

Ῥεόντων τὴν ἄνω κατοικίαν
ἠλλάξω, μακάριε Δονᾶτε,
καὶ χοροῖς ἀσωμάτων

145-151 troparium, Γ incipiens, desideratur 153 ποικίλοις 165 post ἔργα cetera om.
heirm. θ' EE 102, n. 144, Cosmae

159 Iob 9,8

συναγάλλει παριστάμενος κυρίῳ·
τοῦτον δυσώπει
τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

f. 88 ‖ Οἱ πόθῳ προστρέχοντες, τρισμάκαρ,
τῷ θείῳ τεμένει σου καὶ πίστει
τὴν σεπτήν σου τελοῦντες
ἑορτὴν ἐκλιπαροῦμεν μὴ διαλίπῃς
ὑπὲρ τοῦ κόσμου
τὸν δεσπότην ἱλεούμενος.

Νομὴν ἐπουράνιον καὶ μάνδραν
ἀθάνατον οἰκῶν, τοὺς τῇ ποίμνῃ σου
ἐνεδρεύοντας λύκους
ἀποδίωξον ἐν τάχει καὶ τὴν ᾠδήν σοι
τοὺς πεπομφότας
θείοις ἄμειψαι χαρίσμασιν.

θεοτ. Ὑπέρτερον ἔσχηκας τόκον
πασῶν γενεῶν, θεογεννῆτορ·
ἀπειράνδρως γὰρ τίκτεις
καὶ θηλάζεις ὑπὲρ φύσιν· ὢ ξένον θαῦμα!
πῶς καὶ παρθένος,
πῶς καὶ μήτηρ μόνη γέγονας;

175 διαλείπῃς 182 πεπομφότας] πεπτωκώτας cd.

7 AUG. *CANON* VIII

IN SANCTUM DONATUM EPISCOPUM EUROEAE IN EPIRO

Vat. gr. 2288 = Wl, ff. 126ᵛ-128

Ὁ κανών, ⟨οὗ ἡ ἀκροστιχίς·⟩
Εὐροίας τιμῶ Δονᾶτον θυη⟨π⟩όλον.
Ἐν τοῖς θεοτοκίοις· Στεφάνου.

Ἦχος ⟨πλ. δ'.⟩

ᾠδὴ α'. *Ὑγρὰν διοδεύσας ὡσεὶ ξηρὰν*

Ἐν ἐπουρανίοις διηνεκῶς
χορεύων θαλάμοις
καὶ τῷ θρόνῳ παρεστηκώς,
Δονᾶτε, Χριστοῦ, δυσώπει τοῦτον
δοῦναί μοι λόγον εἰπεῖν τοὺς ἐπαίνους σου.

Ὑπῆρξας ἐκ ῥίζης πανευκλεοῦς
κατάκαρπος κλάδος
εὐφορίαν τῶν ἀρετῶν
βλαστάνων, ἐξ ὧν ὁλοκαρπώσεις
ἀδιαλείπτως Θεῷ προσενήνοχας.

Ῥοὰς οἱ τεκόντες ἐξ ὀφθαλμῶν
κρουνούς τε δακρύων
ὡς ἐκ κρήνης τῷ πλαστουργῷ

tit. Ὁ κανὼν Εὐροίας τιμῶ δονᾶτον θυηόλον ... indicatio ἤχ. in cd. illegibilis
heirm. α' ΕΕ 220, n. 315, Joannis ante vv. 11. 37. 65. 91. 119. 145. 190. 230 signum τριαδ. perperam ostendit scriba

προσφέροντες, μάκαρ, ἐξαιτοῦνται
καθάπερ Ἄννα λαβεῖν τὸν σεπτὸν Σαμουήλ.

θεοτ. Συνέλαβες Λόγον ὑπερφυῶς,
παρθένε Μαρία,
τὸν τῶν ὅλων δημιουργόν,
καὶ τίκτεις ἀσπόρως τὸν προόντα
καὶ τὸν Ἀδὰμ δημιουργήσαντα.

ᾠδὴ γ'. *Οὐρανίας ἁψῖδος*

Ὁ πρὶν πάντα γενέσθαι
σοῦ προειδὼς κύριος,
μάκαρ, τῆς ψυχῆς τὸ ὡραῖον
καὶ ἀκηλίδωτον,
ὥσπερ ἀστέρα σε
ἀειφανῆ ἐν τῷ κόσμῳ
καταλάμπειν δέδωκε
ταῖς πρακτικαῖς ἀρεταῖς.

Ἰοβόλους κακίας
τοῦ σκολιοῦ δράκοντος,
πάτερ, ἐκ νεότητος φεύγων
ἀεὶ διέτριβες
ἐν ταῖς ἐρήμοις, Θεῷ
τῷ πλαστουργῷ κατὰ μόνας
προσλαλεῖν βουλόμενος
ὡς ὁ θεόπτης Μωσῆς.

Ἀπαθείας πρὸς ὕψος
ἐληλακώς, ἅπασαν
βίου τὴν ἐμπάθειαν, μάκαρ,
καλῶς ἐμίσησας,

heirm. γ' ΕΕ 220, n. 315, Joannis 35 βολόμενος 39 ἀπάθειαν

14-15 I Regn. 1,9-11 34-36 Ex. 3,1 ss.

τοῖς ἀναγκαίοις δὲ
f. 127 μόνοις ἀρκούμενος, ἅ||παν
τῆς σαρκὸς τὸ φρόνημα,
πάτερ, ἐνέκρωσας.

θεοτ. Τὸν ἀμήτορα Λόγον
ἐκ πατρὸς λάμψαντα
τίκτεις, ἀειπάρθενε,
πείρας ἀπάνευθεν
ἀνδρός, μὴ λύσαντα
τῆς παρθενίας τὰ κλεῖθρα
καὶ Θεὸν καὶ ἄνθρωπον
μείναντα τέλειον.

Κάθισμα.

Ἦχος α΄. ⟨*Τὸν τάφον σου, σωτήρ,*⟩

Ὡς ὄρθρος φαεινὸς
ἀνατείλασα κόσμῳ
φωτίζει τοὺς πιστοὺς
ἡ φωσφόρος σου μνήμη,
Δονᾶτε πανεύφημε,
ἱεράρχα θεσπέσιε·
ὅθεν σήμερον
ἐν εὐφροσύνῃ καρδίας ἑορτάζομεν
καὶ πιστῶς ἐξαιτοῦμεν
δεινῶν ἡμᾶς λύτρωσαι.

ᾠδὴ δ΄. *Ἐκ σαρκός σου βολίδες θεότητος*

Σὴν ἐκ βρέφους σπουδὴν ὁ παμπόνηρος
καὶ δολιόφρων ἐχθρὸς
ἐνορῶν πρὸς τοὺς ἀγῶνας
σπεύδει κενῶσαί σε

---

43 σαχὸς 48 ante πείρας legitur ἐ; ipsam expunximus
heirm. καθ., illegibilis in cd., in PcR 59 refertur
heirm. δ' EE 220, n. 315, Joannis 55 ἐν ὁρῶ 56 καινώσεσαι

---

43 Rom. 8,6

μέλποντα τῷ δεσπότῃ·
« δόξα τῇ δυνάμει σου, κύριε ».

Τῶν δακρύων τοῖς ῥεύμασιν ἅπασαν
πληθὺν ὀλέθριον
τῶν δαιμόνων ἀποπνίγεις,
ὧν καὶ τὰ ἔνεδρα,
μάκαρ, ἐκφεύγων, κράζεις·
« δόξα τῇ δυνάμει σου, κύριε ».

Ἱεράρχην, ποιμένα πανάριστον
κ⟨αὶ⟩ δεσπότην σοφόν,
ὥσπερ λύχνον ἐν λυχνίᾳ
τίθησιν, ἔνδοξε,
ὁ δεσπότης μέλποντα·
« δόξα τῇ δυνάμει σου, κύριε ».

θεοτ. Ἐκ παρθένου φορέσας ὁ κύριος
ἡμῶν τὸ πρόσλημμα,
τὴν φθαρεῖσαν τῶν ἀνθρώπων
φύσιν ἀνέπλασεν
ἅπασαν καὶ θεώσας
ἄνω τῷ πατρὶ συνεκάθισεν.

ᾠδὴ ε΄. *Ἵνα τί με ἀπώσω*
ἀπὸ τοῦ προσώπου σου τὸ φῶς τὸ ἄδυτον

Μύρῳ θείῳ χρισθέντα
τῆς ἱεραρχίας δυνάμει τοῦ πνεύματος
οἱ Εὐροίας δῆμοι
σὲ ποιμένα, Δονᾶτε, πανάριστον

58.64.70 vv. detruncantur 66 κ⟨αὶ⟩: litterae evanidae 68 μένδοξε
heirm. ε' EE 219, n. 314, Joannis 78 δυνεινάμει

67-68 cfr. Matth. 5,15

ἐκ Θεοῦ λαβόντες
καὶ ἰατρὸν ψυχικῶν νόσων,
ἰαμάτων πλουτοῦσι χαρίσματα.

Ὥσπερ ἄλλον Μωσέα
κράτιστον ἐν θαύμασι Χριστὸς ἀνέδειξεν,
ὡς Ἠλίαν πάλαι
ζηλωτὴν τοὺς ἀνόμους αἰσχύνοντα,
Ἐλισσαῖον αὖθις,
τὸν τὴν διπλῆν λαβόντα χάριν,
μηλωτῇ δ' Ἰορδάνην ξηράναντα.

Δανιὴλ θεῖον ἄνδρα
ἐπιθυμιῶν τῶν τοῦ πνεύματος ἔγνωμεν,
διελέγχοντα μὲν
τοὺς κριτὰς τῆς αἰσχύνης, λεόντων δὲ
ὡς συνθλῶντα μύλας
καὶ χειρὸς μάστιγι δρακόντων
κεφαλὰς διακόπτοντα, ἅγιε.

θεοτ. Φαεινήν σε λυχνίαν
ὄρος τε κατάσκιον, κλίνην καὶ τράπεζαν
καὶ σκηνὴν ἁγίαν,
κιβωτὸν αὖθις, πύλην οὐράνιον
οἱ προφῆται πάντες
συμβολικῶς λογογραφοῦσι,
θεοτόκον ἡμεῖς δὲ δοξάζομεν.

---

95 σύνθλῶντασ 96 χειρομάστιγῆ

84-85 Ex. 7,10 ss. 86-87 III Regn. 20,17-24 88-90 IV Regn. 2,14 91-92 Dan. TH. Su. 9,23; 10,11; 10,19 93-94 Dan. LXX Bel 1-22 94-95 Dan. 6,18-19; Dan. LXX Bel 32-42 96-97 Dan. LXX Bel 23-28 98 Zach. 4,2 99 Hab. 3,3 Ez. 23,41 100 Sap. 9,8; Sir. 24,10 101 Ex. 25,10; Ps. 131,8 Ez. 44,1-2

ᾠδὴ ϛ'. *Ἱλάσθητί μοι, σωτήρ·*
πολλαὶ γὰρ αἱ ἀνομίαι μου

Ὃν πάλαι προθεωρῶν
ὁ μέγας Παῦλος διέγραψε
« τοιοῦτος » λέγων « σοφὸς
ποιμὴν ἡμῖν ἔπρεπεν,
ἀμίαντος, ἄκακος »,
τοῦ Χριστοῦ θεράπον,
ἀνεδείχθης ἐν τῇ ποίμνῃ σου.

f. 127v || Νηστείαις καὶ προσευχαῖς
σαυτὸν ἐκ βρέφους ἐκδέδωκας
καὶ κόσμου τὰς ἡδονὰς
εἰς τέλος ἐμίσησας·
ὅθεν ἀναδέδειξαι
τῆς τριάδος οἶκος
ἱερός, Δονᾶτε ἔνδοξε.

Ἀνέκλειπτον πρὸς Θεὸν
ποιοῦ πρεσβείαν, θεσπέσιε,
ἀναίμακτον, ἀκλινῆ
τηρεῖσθαι καὶ ἄτρωτον
ἐξ ἐχθρῶν τὴν πόλιν σου
τὴν τιμῶσαν, μάκαρ,
τὴν σὴν μνήμην καὶ τὰ λείψανα.

θεοτ. Ἀπειρογάμως, ἁγνή,
τὸν κτίστην πάντων συνέλαβες
καὶ τίκτεις οἷα βροτὸν
τὸν πᾶσιν ἀπρόσιτον·
τοῦτον ὡς φιλάνθρωπον
ἐξιλεουμένη
σῶζε πάντας τοὺς ὑμνοῦντάς σε.

---

heirm. ϛ' EE 220, n. 315, Joannis 110 θεράπων 113 φρέφους 121 ἀναίμακτος

107-109 Hebr. 7,26

Κοντάκιον.

Ἦχος β'. ⟨*Τὰ ἄνω ζητῶν*⟩

Τὴν ἄνω ζωήν,
Δονᾶτε, κληρωσάμενος
καὶ παρεστηκὼς
τῷ θρόνῳ τοῦ δεσπότου σου,
τοὺς τῇ θείᾳ σκέπῃ σου
προσφοιτῶντας, ἅγιε,
λυτροῦσαι ἐκ παθῶν καὶ νόσων δεινῶν,
Χριστὸν ὑπὲρ πάντων ἱλεούμενος.

Ὁ οἶκος. *Τράνωσόν μου τὴν γλῶτταν, παμμάκαρ,*

* Γνῶσιν τὴν ἄρρητον κεκτημένος
καὶ τὸ ἔσχατον φθάσας ὀρεκτῶν,
ἱερὲ Δονᾶτε, μάκαρ ἀοίδιμε,
γνῶσιν ἐμπέσαι νοῒ θείων λόγων
τῇ ἁγίᾳ τριάδι, ᾗ παρειστήκεις,
πρέσβευε νῦν
τοῦ ῥυσθῆναι κινδύνων καὶ θλίψεων
καὶ ἕως τέλος εὑρεῖν με
τῶν ἐνύλων παθῶν μου τὴν λύτρωσιν,
πρὸς θείαν δὲ τρίβον ἀναδραμεῖν
ἀπαθείας, εἰς ἣν καὶ ἀνέδραμες
Χριστὸν ὑπὲρ πάντων ἱλεούμενος.

ᾠδὴ ζ'. *Παῖδες Ἑβραίων ἐν καμίνῳ*

Τάφος τῶν σῶν κατορθωμάτων
οὐκ ἐκάλυψε τὴν μνήμην, θεοφόρε,

---

heirm. κονταx., illegibilis in cd., in HR 128 invenies 7 λυτροῦσαι pro λυτροῖ: cfr. PSALTES, 209; MITSAKIS, 61

οἶκ. PAS I, 273, sed sancto Marciano dicatus 11 ἱερὲ Μαρκιανέ, πανσεβάσμιε PAS 12 ἐμπέσαι νοῒ] μοι ἔμπνευσον PAS 13 ᾗ] ἡ cd. ἧ PAS παρεστήκης PAS 16 ἕως τέλος] λύσιν πάντων PAS 17 μου τὴν λύτρωσιν] καὶ δεσμεύσεων PAS 18 ἀποδραμεῖν PAS 19 εἰς ἣν καὶ ἀνέδραμες] γὰρ κατηξίωσαι PAS 20 πάτερ ἱερώτατε πρεσβεύων ... PAS

heirm. ζ' EE 220, n. 315, Joannis

ἀλλ' ὡς στήλη τῶν σῶν
ἀνάγραπτος θαυμάτων
πιστοὺς βοᾶν προτρέπεται·
« ὁ Θεός, εὐλογητὸς εἶ ».

Ὅλον σαυτὸν καθαγιάσας,
προσενήνοχας θυσίαν ζῶσαν, πάτερ,
τῷ Χριστῷ μελῳδῶν
καὶ ψάλλων ἀνενδότως·
« εὐλογητὸς εἶ, κύριε
ὁ Θεός, εἰς τοὺς αἰῶνας ».

Θῦμα καὶ θύτης ἀνεδείχθης·
θῦμα φέρων σεαυτὸν ὡς ἱερεῖον,
θύτης θύων Θεῷ
θυσίας ἀναιμάκτους
ἀναβοῶν, μακάριε·
« ὁ Θεός, εὐλογητὸς εἶ ».

θεοτ. Νόμοι τῇ σῇ κυοφορίᾳ
οἱ τῆς φύσεως ἠσθένησαν, παρθένε·
τὸν γὰρ πάντων Θεὸν
ἀσπόρως συλλαμβάνεις,
ᾧ μελῳδοῦντες ψάλλομεν·
« ὁ Θεός, εὐλογητὸς εἶ ».

ᾠδὴ η'. *Ἑπταπλασίως κάμινον*

Ὑψοποιὸν ταπείνωσιν
ἀπὸ βρέφους κτησάμενος,
ταύτην μέχρι γήρους
ἀσφαλῶς ἐτήρησας·
διὸ τὰ βασίλεια
καταλαβὼν ἠρίστευσας,

---

138. 143-144 vv. recidit scriba 145 Θῦμα] Θαύμα cd. 148 ἀναιμάκτος 153 τὸν] τῶν cd. 155 ψάλλωμεν

heirm. η' EE 219, n. 314, Joannis

---

140 Rom. 12,1

δαίμονα παιδὸς τοῦ βασιλέως διώξας,
φρονήματι δὲ πράῳ
τῷ Χριστῷ ἀναμέλπων·
« λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Ἡ βασιλὶς ἠγάσθη σου
τῆς μορφῆς τὴν εὐπρέπειαν,
ἄγγελον καθάπερ
ἐν σαρκὶ φαινόμενον,
συνεύνῳ δὲ ἄνακτι
f. 128 τῷ ἑαυτῆς || συνέχαιρεν
« εὖγε! » ἐκβοῶσα « πῶς ἡ παῖς λελυμένη
τοῦ δαίμονος κραυγάζει·
'ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας'; »

⟨Π— — — —́ — —́ — —
— — —́ — — —́ — —
— — — — —́ —
— — —́ — —́ — —
— —́ — — —́ — —
— — — —́ — —́ — —
—́ — — — —́ — — — —́ — — —́ —
— —́ — — — —́ —
— — —́ — — —́ —
— —́ — — — —́ —
— —́ — — — —́ —.⟩

Οἱ τῷ σεπτῷ τεμένει σου,
θεομάκαρ, προστρέχοντες
καὶ τῇ τῶν λειψάνων
προσιόντες λάρνακι,
τὴν μνήμην γεραίροντες
καὶ τοὺς ἀγῶνας ᾄδοντες,

167.176-178. 208-211 vv. abrumpit scriba 170 καθαρπὲρ 179-189 troparium, Π incipiens, desideratur 193 προσίωντες

σώζεσθαι παντοίων συμφορῶν δυσωποῦμεν
καὶ νόσων καὶ κινδύνων
σαῖς λιταῖς, ἵνα πίστει
βοῶμεν τῷ δεσπότῃ·
« Χριστέ, εὐλογητὸς εἶ ».

θεοτ. Ὁ τῷ πατρὶ συνάναρχος
μὴ τραπεὶς τῇ θεότητι
σάρκα προσλαβών,
ἣν⟨— —́⟩ διέπλασεν,
ἐκ σοῦ, μητροπάρθενε,
δίχα σπορᾶς λοχεύεται
θέλων ἀναπλάσαι τοὺς ἐν πίστει βοῶντας·
« οἱ παῖδες εὐλογεῖτε,
ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

ᾠδὴ θ'. *Ἔφριξε
πᾶσα ἀκοή*

Λειμῶνας
τοὺς φωτοειδεῖς
ἀιδίου τε τρυφῆς τὴν ἀπόλαυσιν
οἰκεῖν ἠξίωσαι
σὺν ταῖς ἀΰλων χοροστασίαις, σοφέ·
ὅθεν τοὺς πόθῳ καὶ στοργῇ
τελοῦντας τὴν μνήμην σου,
Δονᾶτε ἔνδοξε,
σκέπε, φύλαττε, φρουρῶν ταῖς πρεσβείαις σου.

Ὁ πόθος
ἔπεισεν ἡμᾶς
κατᾴδειν μὲν ᾠδήν σοι, συγγράψασθαι
καὶ τῶν ἀγώνων σου

203 προσλαβεῖν 204 litterae evanidae
heirm. θ' EE 222, n. 317, Joannis 223 κατᾴδειν] κατὰδῦν cd.

τὰς ἀριστείας, πάτερ μακάριε·
σὺ οὖν ἀντίδος ἀμοιβάς,
τὴν ῥῶσιν τοῦ σώματος
— ὁρᾷς τρυχόμενον —
καὶ τῆς ἄνω μετασχεῖν ἀπολαύσεως.

N⟨— —́ —⟩
πόλιν καὶ λαόν,
ἱερεῖς, ἀρχιερεῖς τοὺς τιμῶντάς σου
τὴν μνήμην σήμερον,
Δονᾶτε μάκαρ, ποιμὴν πανάριστε,
σῶζε παντοίων συμφορῶν
εὐχαῖς σου πρὸς κύριον,
ἵνα μὴ λήξωμεν
τὴν πρεσβείαν σου ἀεὶ ἐξαιτούμενοι.

θεοτ. Ὕψωσον,
ἄχραντε, σεμνή,
χριστωνύμου σου λαοῦ κέρας, κράτυνον
τὴν δεξιὰν αὐτῶν
κατὰ βαρβάρων καὶ τῶν τῆς Ἄγαρ υἱῶν,
τῶν δυσφημούντων κατὰ σοῦ
καὶ τοῦ ἐκ λαγόνων σου
τεχθέντος Λόγου Θεοῦ,
καὶ κατάβαλε αὐτῶν τὰ φρυάγματα.

---

230 tres syllabae evanuerunt, fortasse Ναόν σου, 241 κράτητυνον

239-241 cfr. Ps. 148,14

11 AUG. *CANON* IX

IN SS. PHOTIUM ET ANICETUM MARTYRES NICOMEDIAE

Synaxarium, 885-886: Ἄθλησις τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων Φ ω τ ί ο υ καὶ Ἀ ν ι κ ή τ ο υ. Οὗτοι ὑπῆρχον κατὰ τοὺς χρόνους Διοκλητιανοῦ τοῦ βασιλέως· ἦν δὲ ὁ ἅγιος Φώτιος ἀδελφιδοῦς τοῦ ἁγίου Ἀνικήτου. Τοῦ οὖν Διοκλητιανοῦ ἐν Νικομηδείᾳ δημηγορήσαντος κατὰ τῶν χριστιανῶν, παρούσης τῆς συγκλήτου βουλῆς, καὶ πλήθη βασανιστηρίων ἐν τῷ μέσῳ προθέντος καὶ παντοίως διαλωβήσασθαι τοὺς ἐπικαλουμένους τὸ τοῦ Χριστοῦ ὄνομα ἀπειλήσαντος καὶ ἐξαιρήσειν ἐκ τῶν πανταχόθεν ἄκρων τοὺς χριστιανοὺς φρυαξαμένου καὶ πολλὰ βλάσφημα κατὰ τῆς δόξης τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ διεξελθόντος, παρὼν ὁ ἅγιος μάρτυς τοῦ Χριστοῦ Ἀνίκητος οὐ κατεπλάγη τὰς ἀπειλὰς τοῦ τυράννου, ἀλλὰ παρρησίᾳ χριστιανὸν ἑαυτὸν ἀνεκήρυξεν. Καὶ περὶ τῆς πρώτης καὶ ἀνάρχου γεννήσεως τοῦ υἱοῦ τοῦ Θεοῦ καὶ περὶ τῆς ἐσχάτης ἐν χρόνῳ σαρκώσεως αὐτοῦ καὶ δι' ἡμᾶς οἰκονομίας θεολογικώτατα διετράνωσε, στηλιτεύσας τὴν πλάνην τῶν εἰδώλων καὶ προσθεὶς ὅτι κωφοὶ καὶ ἀναίσθητοί εἰσιν οἱ σέβοντες αὐτά· διὰ ταῦτα τύπτεται βουνεύροις ἐπὶ τοσοῦτον, ὡς ἀμυχάς τινας ἐν τῷ αὐτοῦ σώματι γενέσθαι, δι' ὧν αὐτοῦ τὰ ὀστᾶ καθεωρᾶτο. Εἶτα λέων ἀφίεται ἐπ' αὐτόν, ὃν ἰδὼν ὁ ἅγιος, ἔδεισε μετὰ τοῦ μεγέθους καὶ τῆς μανιώδους φορᾶς δεινὸν καὶ καταπληκτικὸν βρυχησάμενον. Ὁ δὲ λέων προσεγγίσας αὐτῷ παντὸς προβάτου κατεφάνη πραότερος. . . . Τότε οὖν τοῦ μάρτυρος εὐχαριστίας ἀναπέμψαντος τῷ Θεῷ, ἐπὶ τῷ τέλει τῆς εὐχῆς σεισμὸς γέγονε καὶ τὸ τοῦ Ἡρακλέους ξόανον καταπεσὸν εἰς κονίαν ἐχώρησε καὶ μέρος τῆς πόλεως κατενεχθὲν πολλοὺς τῶν ἑλλήνων ἀπώλεσε. Προστάξαντος δὲ τοῦ βασιλέως ξίφει τὴν κεφαλὴν αὐτοῦ τμηθῆναι, ἐπεὶ ὁ τὴν πληγὴν μέλλων ἐπενεγκεῖν δήμιος ἀνενέργητος ἔμεινε, τῆς χειρὸς αὐτοῦ μετὰ τῆς σπάθης κατενεχθῆναι μὴ δυναμένης, μεταβαλὼν ὁ τύραννος τὴν ἀπόφασιν, δεσμεῖ τὸν ἅγιον τροχῷ πυρᾶς ὑποστρωθείσης. Ἔνθα διατεμνόμενος τὰ μέλη καὶ διακαιόμενος ηὔξατο καὶ εὐθέως ἐλύθη τὰ δεσμὰ καὶ ὁ τροχὸς ἔστη καὶ τὸ πῦρ ἐσβέσθη. Καὶ τότε δὴ ὁ ἀδελφιδοῦς αὐτοῦ Φώτιος προσδραμὼν περιεπτύξατο αὐτόν, πατέρα καὶ σωτῆρα καὶ θεῖον ἀνακαλῶν. Συνδεσμεῖται οὖν ἅμα τῷ ἁγίῳ κλοιοῖς σιδηροῖς καὶ ἐν εἱρκτῇ ἀμφότεροι τίθενται· εἶτα ἐξαχθέντες ξέονται καὶ πυρὶ φλέγονται καὶ ὑπὸ τοῦ δήμου ἐν τῷ θεάτρῳ λίθοις βάλλονται. Ἀβλαβεῖς δὲ ἐν τοσούτοις διαφυλαχθέντες δεινοῖς, ξύλοις προσδεθέντες τοὺς πόδας . . . ἀτημέλητοι ἐπὶ τρισὶ χρόνοις ἐν τῷ δεσμωτηρίῳ μένειν κατεδικάσθησαν. Μετὰ δὲ τὸ ταριχευθῆναι ἐπὶ τοσοῦτον αὐτούς, ἐκκαύσας ὁ τύραννος τὸ λεγόμενον λουτρὸν Ἀντωνίνου ἐπὶ ἡμέραις τρισὶν ἐν αὐτῷ τούτους κατέκλεισεν. Τοῦ δὲ τῶν κευθμώνων διὰ προσευχῆς τῶν ἁγίων ἀναρραγέντων καὶ τοῦ στερεώματος διαλυθέντος, πλῆθος ὕδατος ἀνεδόθη,

ὡς εἶναι αὐτοὺς οὐκ εἰς διακεκαυμένον καὶ πυρφόρον, ἀλλ' εἰς δροσοβόλον χωρίον. Ἐπὶ τούτοις ἐπιτεχνᾶται κάμινον ὁ Διοκλητιανὸς χωνοειδῆ κίοσι σιδηροῖς ὑποστηριζομένην, ἔνθα βληθέντες καὶ τοῦ Θεοῦ δεηθέντες, πέρας τῆς ἀθλήσεως καὶ τοὺς τῆς νίκης στεφάνους ἐδέξαντο. . . .

Crypt. Δ.α. XII = Cp, ff. 60-62^v
Sinait. gr. 631 = Σρ, ff. 34-36^v
Crypt. Δ.α. XXIII = Cn, ff. 183^v-185^v
Matrit. gr. 4694 = A, ff. 177^v-179^v
Mess. gr. 140 = O, ff. 115^v-117^v
Paris. Coislin. gr. 218 = Ha, ff. 77-79

Ὁ κανών.

Ἦχος δ'.

ᾠδὴ α'. *Τῷ ὁδηγήσαντι πάλαι*

Φωτοχυσίαις ἀρρήτοις
τῆς ὑπὲρ νοῦν χάριτος
καταλαμπόμενοι ἀεί,
τὸν ἐν τῷ σκότει με κείμενον
τῆς ἁμαρτίας φωτίσατε,
ὅπως τὴν φωτοφόρον, ἀθληταί,
ὑμνήσω μνήμην ὑμῶν.

Τῆς εὐσεβείας τὰ ἄνθη
τὰ τὴν ὀσμὴν πνέοντα
f. 60^v ‖ τῆς ἐπιγνώσεως Χριστοῦ,
οἱ στεφανῖται τῆς χάριτος,
οἱ τῶν ἀγγέλων συνόμιλοι,
Φώτιός τε καὶ Ἀνίκητος, πιστῶς
ἀνευφημείσθωσαν.

tit. Κανὼν εἰς τοὺς ἁγίους μάρτυρας φώτιον καὶ ἀνίκητον Σρ   Ὁ κανὼν et in margine sigla Θεοφάνους Cn   Ἕτερος κανὼν εἰς τοὺς ἁγίους μάρτυρας φώτιον καὶ ἀνίκητον Ha

heirm. α'. EE 106, n. 149, Andreae   6 ὅπως] ὅπως νῦν Σρ Cn A ὅπως τε O ὅπως δὲ Ha   8 ἀσεβείας Cp   12 συνόμιλοι] συμμέτοχοι Cp 13 τε om. O   τε καὶ] καὶ ὁ Cn A Ha

10 cfr. Eph. 4,13

Ἵνα Χριστὸν ἐπὶ πάντων
τὸν ἀληθῆ, μάρτυρες,
ὁμολογήσητε Θεόν,
γενναιοφρόνως ἠλέγξατε
τὴν τῶν τυράννων ἀπόνοιαν,
σέβειν καταναγκάζουσαν θεῶν
ψευδῶν ἀγάλματα.

θεοτ. * Βάτος ἐν ὄρει Σιναίῳ
σὲ προτυποῖ μένουσα
ἄφλεκτος, ἄχραντε ἁγνή·
καὶ γὰρ τὸ πῦρ τῆς θεότητος
οὐ κατεφλέχθης κυήσασα,
μένεις δὲ ἀδιάφθορος ὡς τὸ πρὶν
καὶ μετὰ γέννησιν.

ᾠδὴ β'. *Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι Θεός,
ὁ θανατῶν καὶ ζωογονῶν*

Νίκην ἀνίκητον
ἐνδεδυμένος ἐκ Θεοῦ,

15-21 vv. desunt in Σρ Cn A, qui hoc aliud troparium referunt:
Ὡς (Οἱ Cn) ἀκλινεῖς στρατιῶται
τοῦ Ἰησοῦ, μάρτυρες,
τὰς παρατάξεις τοῦ ἐχθροῦ
πίστεως ὅπλοις καθείλατε (καθείλετε A)
ἀνδρειοφρόνως, μακάριοι·
ὅθεν νίκης τὸν (νὸν Cn) στέφανον ὁμοῦ
συνανεδήσασθε.

15 Ἵνα] Ἕνα Ha   17 ὁμολογίσατε Ha   18 ἐλέγξατε Ha   19 τοῦ τυράννου O Ha   20 σέβειν σε καταναγκάζοντες θεῶν O σέβειν τε καταναγκάζων τὸν θεὸν Ha   22-28 θεοτ., quod om. in Σρ, ed. in AHG IX, 79; cfr. etiam in hoc volumine canonem XXV, 25-32   23 μένουσαν Cn O   27 post δὲ add. καὶ O   ἀδιαφθόρως Cn A Ha AHG   τὸ om. O

ode β' deest in Cn A O Ha

heirm. β' EE 105, n. 148, Andreae   ante vv. 29-35 hoc troparium tradit Σρ:
Ἄνθρακα φέροντες
ἐν διανοίᾳ τὸν Χριστὸν (cfr. Is. 47,14)
οἱ ἀπλανεῖς μάρτυρες αὐτοῦ,

22-24 Ex. 3,2

τὴν τοῦ πυρὸς ἔσβεσας ὁρμὴν
καὶ τῶν θηρῶν ἀπημάντως
τὰ χάσματα διῆλθες
καὶ τὸ βραβεῖον τῆς νίκης ἐδέξω,
νικεπώνυμε Ἀνίκητε σοφέ.

Ἴδε σε, ἔπτηξε
τὸ ἀκατάπληκτον τῆς σῆς
ὁ δικαστής, Φώτιε, ψυχῆς·
τῷ γὰρ φωτὶ τῆς ἐνθέου
λαμπόμενος ἀγάπης,
τὴν ἀχλυώδη ἀπάτην τῆς τούτου
δυσσεβείας ἀπημαύρωσας, σοφέ.

Κρήνη προχέουσα
τῶν ἰαμάτων ποταμοὺς
τῶν ἀθλητῶν ὤφθη ἡ σορός,
ἐξ ἧς ἀρδεύεται πᾶσα
Χριστοῦ ἡ ἐκκλησία
καὶ κατακλύζονται πάθη ποικίλα
καὶ βυθίζεται παράταξις ἐχθρῶν.

θεοτ. * Νέον παράδεισον
τὴν σὴν ἐπέγνωμεν νηδὺν
ξύλον ζωῆς φέροντα, Χριστόν,
ἐξ οὗ γευόμενοι πίστει,

τὴν εὐκατάπρηστον ὕλην
κατέφλεξαν τῆς πλάνης
καὶ εὐσεβείας πυρσοὶ γεγονότες,
πρὸς ἀνέσπερον μετέστησαν αὐγήν.

36 Ἴδεν cdd.: vide Commentarium σε] καὶ Σρ 42 σοφὲ] σαφῶς Σρ 49 παρατάξεις Σρ 50-56 θεοτ. Para φλα'; AHG IX, 81 52 ζωῆς] ζωῆς με Σρ φέρουσαν Para φέρουσα AHG

36-42 AA.SS. Aug. II (1735) 708F: Ὁ δὲ ἅγιος Φώτιος τότε δραμὼν κατεφίλησε τὸν τοῦ Θεοῦ ἀθλητὴν ... Ἀνίκητον, ἐξελέγχων Διοκλητιανὸν τὸν βασιλέα ἐπὶ τῇ ματαιότητι καὶ τῇ πλάνῃ τῶν θεῶν αὐτοῦ.

50-52 Gen. 2,8-9 53-54 cfr. Gen. 2,16-17

θνηξόμεθα οὐκέτι
οἱ θεοτόκον ἀεί σε τιμῶντες,
παναγία ὑπερένδοξε, ἁγνή.

ᾠδὴ γ'. *Ὁ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα*

Ἠκονημένα βέλη σου τῶν λόγων,
Ἀνίκητε, κατέπηξας
ἐν τῇ καρδίᾳ τοῦ δυσσεβοῦς
f. 61 βασιλέως, ‖ στρατιώτης
ὡς δυνατὸς γενόμενος
Χριστοῦ τοῦ ἐπὶ πάντων Θεοῦ.

Ταῖς ἀνενδότοις μάστιξι τὰς σάρκας
δεινῶς καταξεόμενος,
τῶν διωκτῶν, μάκαρ, τὴν ψυχὴν
διεσπάραξας ἐλέγχοις
καὶ τὸ τῆς πλάνης φρύαγμα,
Ἀνίκητε, κατέβαλες.

Σεσαρκωμένον Λόγον τὸν προόντα
κηρύττοντες οἱ ἅγιοι,
κλοιὰ καὶ μάστιγας καὶ πυρὸς
δριμυτάτην τιμωρίαν
καὶ σπαραγμοὺς ὑπέμειναν,
τῇ χάριτι νευρούμενοι.

---

heirm. γ' EE 104, n. 147, Andreae v. 62 τοῦ πάντων βασιλέως χριστοῦ Ha ἐπὶ πάντων] βασιλέως Σρ Cn A O 65 μάκαρ, τὴν ψυχὴν] μάρτυς τὰς ὁρμὰς Ha 67 πλάνης] νίκης Cn 68 κατέβαλες emendatum supra lineam ex κατέβαλας in Cp κατέβαλας A Ha 69-74 pro hoc aliud troparium praebet Ha:

Τῇ τοῦ νοὸς ἀύλῳ ἐκδημίᾳ
τὸν μόνον ἀσχημάτιστον
ἐνοπτριζόμενοι καὶ αὐτοῦ
ἐνηδόμενοι τῷ κάλλει,
τὰ τῆς σαρκὸς ἐπίπονα
ἀπόνως ὑπεφέρετε.

73 σπαραγμοὺς] διωγμοὺς Cn

θεοτ. Ὁ Γεδεὼν σε πόκον προεώρα
τὸν ὄμβρον τῆς θεότητος
ἐν τῇ γαστρί, ἄχραντε ἁγνή,
δεξαμένην καὶ τεκοῦσαν,
δι' οὗ τῆς πλάνης χείμαρροι
τελείως κατεκλύσθησαν.

ᾠδὴ δ'. *Εἰσακήκοα, ὁ Θεός,*
τὴν ἀκοήν σου καὶ ἐφοβήθην

Ἐν τῇ πέτρᾳ τῆς ἀκλινοῦς
ἑστῶτες πίστεως, ἀθλοφόροι,
ταῖς βολαῖς τῶν λίθων ἄτρωτοι
παντελῶς ἐδείχθητε
ὑμνολογοῦντες ἅμα τὸν κύριον.

Ὕδωρ ἔχων ἐν τῇ ψυχῇ
ἀθανασίας Θεοῦ τὸν πόθον,
τὰ φλογώδη ἐναπέσβεσας
τῶν λεβήτων βράσματα,
μάρτυς Χριστοῦ, θεόφρον Ἀνίκητε.

Τὸν χρηστὸν κυρίου ζυγὸν
ποθῶν καὶ φέρων, κλοιῶν καὶ πέδων
σιδηρῶν, ἔνδοξε Φώτιε,

75-80 θεοτ. om. Σρ; cfr. autem in hoc volumine canonem XXV, 91-96 79 δι' οὗ] διὸ Cn 80 κατελύθησαν Ha

heirm. δ' EE 107, n. 150, Andreae 82 πίστεως] πίστει οἱ O 85 ὑμνολογοῦντες] ὁμολογοῦντες Cn ἅμα] ἆσμα Σρ τὸν κύριον] χριστὸν τὸν θεὸν Σρ Cn A O Ha ut secundum hoc troparium Σρ Cn A O Ha proferunt:

Διεσείσθη τῶν ἀσεβῶν (τῶν ἀσεβῶν] διὰ τῶν σῶν O)
ἡ πόλις πᾶσα καὶ κατεβλήθη
τῷ μοχλῷ τῆς σῆς δεήσεως
καὶ βωμοὶ ἐρράγησαν
τῇ προσευχῇ σου, μάρτυς Ἀνίκητε. (ἀήττητε Ha)

86-90 troparium om. O; idem ut tertium tradunt Σρ Cn A Ha 88 ἐναπέσβεσας] πάθη ἔσβεσας Cn 91-95 troparium deest in Σρ Cn A; ipsum ut quartum Ha profert 93 σιδηρῶν] διδηρῶν Ha

---

75-78 Jud. 6,37-40 91-92 cfr. Matth. 11,29-30

οὐδαμῶς ἐφρόντισας,
δοξολογῶν τὸν σὲ δυναμώσαντα.

θεοτ. * Ἡ νεφέλη ἡ φωτεινή,
ἐξ ἧς προῆλθε δικαιοσύνης,
Ἰησοῦς, ὁ μέγας ἥλιος
καὶ τὴν γῆν ἐφαίδρυνεν,
ἡ θεοτόκος κόρη δοξάζεται.

ᾠδὴ ε'. *Ἀνάτειλόν μοι, κύριε,*

Τροχοῖς κατατεινόμενος
πυρί τε λιπαινόμενος
καὶ τοῖς θηρσὶ βορὰ διδόμενος,
ξεόμενος τὰς σάρκας
ὁ στερρὸς Ἀνίκητος
ἀκλινὴς διέμεινεν
ὑμνολογῶν τὸν λυτρωτήν.

Φωτὶ καταυγαζόμενος
τῆς ἀνεσπέρου χάριτος,
f. 61v || τῆς ἀθεΐας ἀπημαύρωσε
τὴν πλάνην ὁ γενναῖος
ἀθλοφόρος Φώτιος

---

95 δυναμώσαντα] δυναμοῦντα θεὸν O 96-100 θεοτ., quod om. Σρ, in AHG IX, 84 ed. 100 ἡ] ὡς AHG

heirm. ε' EE 106, n. 149, Andreae ante vv. 101-107 hoc troparium praebent Σρ Cn A O:

Ὡς κλήματα πολύφορα
ὑπάρχοντες οἱ ἅγιοι
τῆς νοητῆς Χριστοῦ ἀμπέλου, (cfr. Joh. 15,1-2)
ἀθλήσεως τὸν βότρυν
εὐσεβῶς ἐξήνθησαν, (ἐξήνθησας Cn)
οἶνον κατανύξεως
ἀναβλυστάνοντα (ἀναβλαστάνοντα A) ἡμῖν.

105 ὁ στερρὸς] στερρῶς ὁ Cn 108-114 tropario caret Cn 112 v. omnino deest in Ha

---

96 Ex. 13,21 79-98 Mal. 3,20

καὶ πρὸς φῶς κατήντησεν
ἀθανασίας καὶ ζωῆς.

Τῆς πίστεως ἐρείσματα
οἱ μάρτυρες ἐδείχθησαν
καὶ τῆς ἀπάτης καθαιρέται,
Χριστοῦ συγκληρονόμοι
καὶ ἀγγέλων σύσκηνοι,
σὺν αὐτοῖς χορεύοντες
διὰ παντὸς ἐν οὐρανοῖς.

θεοτ. * Ἑπτάφωτον λυχνίαν σε
καὶ πύλην ἀδιόδευτον
καὶ κιβωτὸν καὶ στάμνον ἔχουσαν
θεότητος τὸ μάννα
καὶ σκηνὴν καὶ τράπεζαν
πάντες ὀνομάζομεν,
Μαρία ἄχραντε, σεμνή.

ᾠδὴ ϛ'. *Ζάλη με*
λογισμῶν καταλαβοῦσα

Τοῖς πόνοις
ἐντρυφῶντες τῶν βασάνων
ἔχαιρον οἱ μάρτυρες,
τὴν ἄπονον προορῶντες
ὀφθαλμῷ διανοίας καθαρῷ
οὐρανῶν βασιλείαν
καὶ δι' αἰῶνος ἀπόλαυσιν.

115-121 troparium om. Σρ A O v. 115 Φωτὶ καταυγαζόμενοι Cn (cfr. v. 108) 121 ἐν οὐρανοῖς διὰ παντὸς Cn 122-128 θεοτ., quod om. Σρ, ed. in AHG IX, 85; cfr. etiam in hoc volumine canonem XXV, 146-152 124 καὶ στάμνον] σὲ στάμνον Ha ἔχουσα O 127 ὀνομάζωμεν O Ha 128 σεμνὴ] ἁγνὴ Cn A O Ha AHG

heirm. ϛ' EE 107, n. 150, Andreae 133 ὀφθαλμῶν Cn 135 δι' αἰῶνος] αἰωνίαν O

---

122 Ex. 25,31; Zach. 4,2 123 Ez. 44,1-2 124 Ex. 25,10 ss. 124-125 Ex. 16,33-34 126 Ex. 25,9; 26,1 Ex. 25,23

Αἱμάτων
ἐξ οἰκείων πορφυρίδα
φοροῦντες οἱ μάρτυρες,
σταυρὸν δὲ καθάπερ σκῆπτρον
δεξιᾷ νῦν κατέχοντες χειρὶ
Χριστῷ συμβασιλεύειν
διὰ παντὸς ἠξιώθησαν.

Ὡς κρίνα
ἐν λειμῶνι τῶν μαρτύρων
σαφῶς ἐξανθήσαντες,
τῆς νοητῆς εὐωδίας
ἐπληρώσατε, μάρτυρες σεπτοί,
Χριστοῦ τὴν ἐκκλησίαν,
δυσώδη πλάνην μειώσαντες.

θεοτ. * Ὁ κλύδων
τῶν ἀμέτρων μου πταισμάτων
εἰς βυθὸν καθείλκυσε
τῆς ἀπογνώσεως, κόρη,
ἀλλὰ σοῦ τῷ λιμένι τῆς ζωῆς
προστρέχω, θεοτόκε·
δέσποινα πάναγνε, σῶσόν με.

---

137 πορφυρίδαν A 138 φέροντες A 139 καὶ τὸν σταυρὸν ἀντὶ σκήπτρου (σκῆπτρον Cn) Σρ Cn A O Ha 140 δεξιὰν Ha χειρὶ] πυρὶ Σρ 143-149 troparium om. Cn; pro hoc aliud referunt Σρ A:

Ἀβρόχως
ὑποπλεύσαντες τῆς πλάνης
τὸν ἄγριον κλύδωνα,
ἐν ἀκυμάντῳ λιμένι
καθωρμίσθητε, μάρτυρες Χριστοῦ,
τῆς ἄνω βασιλείας,
θείας γαλήνης πληρούμενοι.

147 σεπτοὶ] χριστοῦ Ha v. 148 σεπτοὶ τῆς ἐκκλησίας Ha 150-156 θεοτ., quod om. Σρ, in AHG IX, 87 ed. 152 καθείλκυσε] καθέλκει με Cn A O Ha AHG 154 σοῦ sic cdd.: sed et σοὶ patiar ζωῆς] θερμῆς Cn O AHG 155 θεοτόκε] προστασίας Cn A O AHG προστασίαν Ha

---

143-145 cfr. Cant. 2,1; Is. 35,1; Os. 14,6

Κάθισμα.

Ἦχος δ'. *Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ*

Καταβαλόντες τοῦ ἐχθροῦ
τὰς ἐπάρσεις
f. 62 ....

ᾠδὴ ζ'. *Πῦρ φλέγον ἐν καμίνῳ*

Πῦρ φλέγον ἀσεβείας
ἐναποσβέσαντες
αἱμάτων τοῖς ῥεύμασιν
οἱ Χριστοῦ στρατιῶται,
« εὐλογητὸς εἶ, » ἐβόων
« ὁ μόνος Θεὸς τῶν πατέρων ἡμῶν ».

Θυσία αὐθαίρετος
Χριστῷ προσήχθητε,
τούτου τὰ παθήματα,
μάρτυρες, ζηλώσαντες
καὶ τῶν εἰδώλων θυσίας
τὰς μιαρωτάτας καταργήσαντες.

Μολίβδῳ τυπτόμενος,
τροχῷ συνδούμενος,
ξύλῳ καθηλούμενος,
ὄνυξι ξεόμενος,

καθ. MR VI, 388; ipsum deest in Cn O Ha; Σρ vero ante canonem (f. 33) et A post oden γ' praebent

heirm. ζ' EE 105, n. 147, Andreae; heirm. integer in Ha invenitur; posterior manus in margine textum heirm. complevit in Cp O heirm. 1 Πῦρ φλογίζων κάμινον A O 158 ἐναποσβέσοντες A 160 post στρατιῶται add. μελωδοῦντες ἐκραύγαζον Cn 161 ἐβόων] ὁ μόνος Σρ Cn A O Ha 162 ὁ μόνος] ἐβόων Σρ ὑπάρχων Cn A O Ha post ὑπάρχων cetera om. Ha 163-168 troparium ut tertium tradunt Σρ O; idem om. A Ha 168 κατηργήσατε Σρ Cn O 169-174 vv. om. Cn; in secundam sedem proferunt Σρ A O Ha 169 τυπτόμενος] φλεγόμενος Σρ A O Ha 170 συνδούμενος] τεινόμενος Σρ A O Ha 171 v. desideratur in Ha 171-172 ὄνυξι ξεόμενος / πυρὶ λιπαινόμενος Σρ

θηρσὶ διδόμενος βρῶμα
ὁ μάρτυς Ἀνίκητος χαίρων ὑπέφερεν.

θεοτ. Ἀνήροτος ἄρουρα
ὤφθης ἀνθήσασα
στάχυν ἀγεώργητον,
χεῖρας τὸν ἀνοίγοντα
καὶ ἐμπιπλῶντα πᾶν ζῷον,
Χριστὸν τὸν Θεὸν ἡμῶν, πανάμωμε.

ᾠδὴ η'. *Γῆ καὶ πάντα τὰ ἐν αὐτῇ*

Ὢ ἀνδρείας, ὢ καρτερᾶς
ἐνστάσεως, ὢ γνώμης ἀκλινοῦς,
ὢ πῶς τυπτόμενος σφοδρῶς
καὶ φλεγόμενος ἀνενδότως
ἀήττητος ὤφθη
ἀθλοφόρος ὁ μέγας Ἀνίκητος,
ὃν ἀνευφημοῦμεν, πιστοί, εἰς τοὺς αἰῶνας!

Οἱ τὴν πέτραν τὴν ἀρραγῆ
θέμενοι θεμέλιον, Χριστόν,
ὑπὸ τῶν λίθους δυσσεβῶς
προσκυνούντων λιθολευστοῦνται

---

174 χαίρων om. Σρ Ha post ὑπέφερεν add. εὐλογητὸς εἶ ὁ μόνος ὑπάρχων Ha ut tertium troparium hoc proferunt A Ha:

Τῆς πίστεως θώρακα
περιβαλόμενοι (περιβαλλόμενος Ha)
καὶ τὸ ἀδιάρρηκτον
ὅπλον χειρισάμενοι (χειρισάμενος Ha)
τὸ τοῦ σταυροῦ, ἀθλοφόροι,
ἐχθροὺς ἀοράτους ἐτροπώσασθε.

175-180 θεοτ. deest in Σρ; cfr. autem in hoc volumine canonem XXV, 203-204 175 Ἀνήρωτον Ha 176 ὤφθης θηλάσασα O ἀνθήσασα ἐκλεκτὴ Ha 178 τὸν ἀνοίγοντα χεῖρα Cn A O Ha 179 ἐμπιμπλῶντα Cn Ha 180 ante πανάμωμε add. μόνη Ha

heirm. η' EE 107, n. 150, Andreae 181 καρτερᾶς] καθαρᾶς O 183 ὢ πῶς] ὅπως Σρ A Cn O Ha 185 ὤφθης Cn 186 ὁ] ὡς Cn 188-194 troparium om. Cn 188 ἀρραγὴν A 189 χριστοῦ Σρ Ha 190 λίθων Σρ A 191 λιθολευστοῦντες Ha

---

175 Gen. 21,33 178-179 cfr. Ps. 144,16 188-189 cfr. Luc. 6,48; I Cor. 3,11

καὶ πᾶσαν ἰδέαν
ἀλγεινῶν ὑποφέρουσι χαίροντες
καὶ ὑπερυψοῦντες Θεὸν τὸν ἐν τριάδι.

Τοῖς σχοινίοις διὰ παντὸς
τοῦ σώματος στρεβλούμενοι, σοφοί,
σχοίνισμα ὤφθητε Θεοῦ,
τῷ πυρὶ δὲ παραδοθέντες,
γενναῖοι ὁπλῖται,
οὐδαμῶς κατεφλέχθητε λάμποντες
δόκιμον καθάπερ χρυσίον, ἀθλοφόροι.

θεοτ. * Γῆ ἁγία, θρόνος Θεοῦ,
παλάτιον καὶ ῥάβδος Ἀαρών,
θυμιατήριον χρυσοῦν,
ἀλατόμητον ὄρος θεῖον,
f. 62v || παρθένος καὶ μήτηρ
ἀπειράνδρως τεκοῦσα καὶ τρέφουσα
πάντων τὸν τροφέα σὺ εἶ, εὐλογημένη.

ᾠδὴ θ'. *Ὅτι ἐποίησέ μοι*
μεγαλεῖα ὁ δυνατός

Ἀνίκητος ὁ μέγας
πανδαισία πρόκειται

193 ὑπομένουσι Σρ A O Ha 194 καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας Ha 195 διὰ] κατὰ Σρ Cn A O Ha 198 v. desideratur in Σρ παραδοθέντες] δοκιμασθέντες Cn 200 λάμψαντες Σρ A O ψάλλοντες Cn 201 δόκιμον καθάπερ] σὲ ὑπερυψοῦμεν Cn, qui cetera om. 202-208 θεοτ., om. in Σρ, ed. in AHG IX, 89; cfr. etiam in hoc volumine canonem XXV, 232-240 202 θρόνος emendatum supra lineam ex θρόνον in Cp 205 θεῖον ὄρος Cn A O Ha AHG 206 καὶ μήτηρ παρθένος AHG
heirm. θ' EE 106, n. 149, Andreae ut primum hoc troparium Σρ Cn A O Ha proferunt:

Φωτὶ ἀκραιφνεστάτῳ (ἀκριφνεστάτω O)
προσπελάσαντες καθαρῶς
καὶ τούτου ταῖς ἀΰλοις ἀστραπαῖς
ἐλλαμπόμενοι ἀεί,
ἡμέρας ὤφθητε υἱοί,
ἔνδοξοι μάρτυρες.

209-214 troparium ut secundum Ha et ut tertium Σρ O servant; idem om. Cn A

201 cfr. Prov. 17,3; 27,21; Sir. 2,5 202 Gen. 21,33 Dan. 7,9 203 Num. 17,23 204 Hebr. 9,4 205 Dan. 2,34.45

καὶ Φώτιος ὁ θεῖος σὺν αὐτῷ
καὶ προτρέπονται ἡμᾶς
κατατρυφῆσαι μυστικῶς·
πιστοί, συνδράμωμεν.

Τὰ νέφη τῶν βασάνων
οὐ κατέκρυψαν τῆς ὑμῶν
ἀθλήσεως τὸ φέγγος ἀληθῶς·
ὑπὲρ ἥλιον καὶ γὰρ
πᾶσι τοῖς πέρασιν ἀεί,
μάρτυρες, λάμπετε.

Ἐκ θλίψεως βασάνων
πλατυσμὸν εὑράμενοι
τῆς ἄνω βασιλείας, καὶ ἡμᾶς
ἐκ στενώσεως παθῶν
καὶ ἐκ παντοίων πειρασμῶν
ῥύσασθε, μάρτυρες.

θεοτ. * Ἐλπὶς καὶ προστασία
τῶν πιστῶν ὑπάρχουσα,
διάσωζε ἡμᾶς ἐκ τῶν παθῶν
καὶ παντοίων πειρασμῶν
τοὺς θεοτόκον σε ἀεὶ
ὁμολογοῦντας, ἁγνή.

211 ὁ θεῖος] ὁ τούτου Ha σὺν αὐτῷ] ὀπαδὸς Ha 212 προπέμπονται Ha 214 πίστει Σρ 215-220 troparium deest in Ha; idem ut secundum tradunt Σρ O 216 τῆς] τὰς Cn 220 λάμπετε μάρτυρες A 221-226 troparium om. Σρ A O; ut tertium autem sequens troparium A refert:

Ἐφ' ὕδωρ ἀπαθείας
καὶ ἐν τόπῳ δόξης Θεοῦ,
εἰς γῆν τὴν ἐκλεκτὴν ὡς ἐκλεκτοί,
ἔνθα ἦχος καθαρὸς
ἑορταζόντων, ἀθληταί,
κατεσκηνώσατε.

225-226 ῥύσασθε μάρτυρες χριστοῦ / τοὺς εὐφημοῦντας ὑμᾶς Cn Ha 227-232 θεοτ., om. in Σρ, ed. in MR I, 132; cfr. etiam in hoc volumine canonem XXV, 259-264

11 AUG. *CANON X*

IN SANCTUM THEODOSIUM OROVENSEM HEGUMENUM

Synaxarium, 877 *: Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοδοσίου ἡγουμένου Ὀρόβων. Ὃς ἐξ αὐτῶν σπαργάνων τὸν σταυρὸν τοῦ κυρίου ἐπ' ὤμων ἀράμενος, σπηλαίοις καὶ ὄρεσι καὶ κοιλάσι διητᾶτο. Διὸ καὶ ὡς μῦρον πολύτιμον καὶ θυμίαμα δεκτὸν τῷ Θεῷ προσενεχθείς, ἐν εἰρήνῃ ἀνεπαύσατο.

Mess. gr. 136 = Mf, ff. 268v-272

Ὁ κανών.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ἁρματηλάτην Φαραὼ ἐβύθισε*

Θεοσεβείας ἑτοιμάσας τράπεζαν
ἐπὶ τῇ μνήμῃ αὐτοῦ,
μεθ' ὑψηλοῦ πάντας
συγκαλεῖ κηρύγματος
ὁ μέγας Θεοδόσιος,
ἱερέων τὸ κλέος,
τῶν μοναζόντων τὸ καύχημα·
δεῦτε συνελθόντες μετάσχωμεν.

Ἐπὶ τῶν ὤμων τὸν χρηστὸν ἀράμενος
ζυγὸν προθύμως Χριστοῦ,
τὴν ἀγαθὴν τρίβον
εὐσταλῶς διώδευσας,

* in die 8 aug.
heirm. α' EE 219, n. 314, Joannis

9-10 cfr. Marc. 8,34; Luc. 9,23

πατρῴαν περιφάνειαν
τεθνηκὼς παρὰ φαῦλον
καὶ πᾶσαν κόσμου προσπάθειαν·
ὅθεν τοῦ σκοποῦ οὐ διήμαρτες.

θεοτ. Ὁ συνυπάρχων τῷ πατρὶ καὶ πνεύματι
ἀδιαστάτως ἀεὶ
f. 269 || μονογενὴς Λόγος
τὴν ἡγιασμένην σου
γαστέρα κατεσκήνωσε,
προελθὼν ἀπορρήτως
θεάνθρωπος ἀναλλοίωτος,
πάναγνε, καὶ σώσας τὸν ἄνθρωπον.

ᾠδὴ γ'. *Ὁ στερεώσας κατ' ἀρχὰς*

Συναπεβάλου ταῖς θριξὶ
τὸν κόσμον καὶ τὰ ἐν κόσμῳ,
μοναστῶν περισταλεὶς δὲ ἀμφίοις,
τὴν ἐξ ὕψους μυστικῶς
συμπεριέθου δύναμιν
ψάλλων· « οὐκ ἔστιν πλήν σου
ἅγιος, μόνε φιλάνθρωπε ».

Ὀνομαστὸς δι' ἀρετὴν
καὶ διαβόητος πᾶσιν
ἀπεφάνθης, Θεοδόσιε μάκαρ·
οὐ γὰρ πόλιν δυνατὸν
κειμένην ἐπὶ ὄρος λαθεῖν·
ὅθεν συνελθόντες
ὕμνοις συμφώνως δοξάζομεν.

θεοτ. Ὑπὲρ κατάληψιν τῆς σῆς
κυοφορίας ὁ τρόπος·

14 παράφαυλον
heirm. γ' EE 219, n. 314, Joannis 31 post ἅγιος cetera om. scriba
38 δοξάζωμεν

35-36 Matth. 5,14

τῶν αἰώνων γὰρ ὁ γενάρχης
ἐπ' ἐσχάτων ἡμερῶν,
f. 269v ἐκ σοῦ ἀρχὴν λαβὼν ‖ χρονικήν,
ὅπερ οὐκ ἦν ἀτρέπτως
γέγονε, μείνας παρθένος ἀεί.

ᾠδὴ δ'. *Σύ μου, Χριστέ, κύριος, σύ μου καὶ δύναμις*

Μωσαϊκὴν
ἱερουργίαν ἐτέλεσας·
σταυροτύπῳ
ῥάβδῳ γὰρ ἐντεύξεσιν,
ἀναστομώσας λαγόνας γῆς,
ὡς ἐξ ἀκροτόμου
πηγὰς ὑδάτων ἐξέβλυσας
εἰς ῥῶσίν τε καὶ πόσιν
τῶν πιστῶν μελῳδούντων·
« τῇ δυνάμει δόξα, φιλάνθρωπε ».

Ἐπιτελῶν
ἱερουργίαν ἀναίμακτον,
πῦρ φωτίζον
ἔχων ἐν καρδίᾳ σου,
πυρὸς φλογίζοντος ἀσινὴς
λώβης ἐφυλάχθης,
βαβυλωνίας ὡς πάλαι φλογὸς
οἱ περὶ Ἀζαρίαν,
σὺν αὐτοῖς ἀναμέλπων·
« τῇ δυνάμει δόξα, φιλάνθρωπε ».

θεοτ. Καινοτομεῖ
φύσιν ἐκ σοῦ προερχόμενος

---

43 ἐκ σοῦ] ἐξ οὗ cd. 45 μείνας pro μείνασα: nominativus absolutus: cfr. MITSAKIS, 158-159; 160 § 307a
heirm. δ' EE 219, n. 314, Joannis 53 πόσιν] πᾶσιν cd. 55.65.75 vv. intermittuntur 67 φύσις

---

46 ss. Num. 20,9-11 51-53 Deut. 8,15; Ps. 113,8; Sap. 11,4 62-63 Dan. 3,46-50

ὁ τὸ εἶναι
πᾶσι παρεχόμενος·
Θεὸς γὰρ ὤν, γίνεται βροτὸς
καὶ σὲ τὴν τεκοῦσαν
f. 270 παρθένον καὶ μετὰ ‖ γέννησιν
φυλάττει ὡς πρὸ τόκου·
ᾧ πιστῶς μελῳδοῦμεν·
« τῇ δυνάμει δόξα, φιλάνθρωπε ».

ᾠδὴ ε'. *Ἵνα τί με ἀπώσω*

Ὑψηλὸς ταπεινώσει,
τῆς ἀκτημοσύνης δὲ περιουσίᾳ κομῶν,
πρακτικὸς ἐν λόγῳ,
ἐν φρονήσει δὲ ἄκακος γέγονας
τὴν κυβέρνησίν τε
πολυειδής, ἁπλοῦς τὸν τρόπον,
ὠφελείας καὶ χάριτος ἔμπλεως.

Δωρεῶν οὐρανίων
ὡς ἀξιωθείς, λεπρωθέντα ἐκάθαρας,
φθαρτικῆς δὲ λύμης
ἑρπετῶν ἰοβόλων ἀπήμων φανείς,
τῷ θηρὶ προστάττεις,
ὑποζυγίου ὀλετῆρι,
τὸ ἐκείνου πληροῦν διακόνημα.

θεοτ. Ἐπὶ σοί, θεοτόκε,
οἱ προφητικοὶ ἀριδήλως πληροῦνται χρησμοί·
ὃν γὰρ προτυποῦσιν
f. 270v ‖ ἐν συμβόλοις, σκιαῖς καὶ αἰνίγμασι
σὺ ἐν ἀληθείᾳ
κυοφορεῖς ὁμοιωθέντα
κατὰ πάντα ἡμῖν, ἁμαρτίας χωρίς.

---

heirm. ε' EE 219, n. 314, Joannis 77 κοσμῶν 78 πρακτικῆς 82 ἔμπλεος

ᾠδὴ ς΄. *Ἱλάσθητί μοι, σωτήρ,*

Παντὸς καλοῦ πεφυκὼς
θεοπρεπὲς καταγώγιον,
ἀγάπην εἰλικρινῆ
καὶ πίστιν ἀκράδαντον,
ἐλπίδα ἀδίστακτον
καὶ πραοφροσύνην
ἐν κυρίῳ κατεπλούτησας.

Ἡλιοβόλος ἀκτὶς
ὡς οἷα δή τις τεθέαται
τῷ στρατιάρχῃ ταῖς σαῖς
εὐχαῖς, Θεοδόσιε,
μαθητῶν ὁ πρόκριτος
καὶ ἠγαπημένος
θυμιῶντί σοι ἑπόμενος.

θεοτ. Ὑπερηφάνων ἑσμὸς
διεσκορπίσθη καὶ ὤλωλεν,
ὑψώθη δὲ ταπεινῶν
τὸ κέρας τῷ τόκῳ σου
καὶ μετεστοιχείωται
πρὸς τὸ κρεῖττον πάντα,
παναγία μητροπάρθενε.

Κάθισμα.

Ἦχος πλ. δ΄. *Τὴν σοφίαν τοῦ Λόγου ἐν σῇ γαστρί*

f. 271 * ‖ Ἀστραπαῖς σου τῶν λόγων τῶν θεϊκῶν
καταφλέξας τὴν πλάνην τὴν πονηράν,
πιστοὺς κατεφώτισας
ἀνυμνεῖν τὴν ἐν σώματι

---

heirm. ς΄ EE 220, n. 315, Joannis 110 ἑπόμενος: nominativus absolutus: cfr. notas ad v. 45

καθ. MR VI, 365, sed apostolo Matthiae dicatum

113-114 cfr. I Regn. 2,1

παρουσίαν, μάκαρ,
τοῦ πάντων δεσπόζοντος
καὶ αὐτοῦ τὸ πάθος
τὸ θεῖον ἐζήλωσας·
ὅθεν συνελθόντες
τὴν ἁγίαν σου μνήμην
τελοῦμεν γηθόμενοι
καὶ συμφώνως βοῶμέν σοι·
⟨— — ⏑ — — ⏑ — —⟩
« πρέσβευε Χριστῷ τῷ Θεῷ
τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι
τοῖς ἑορτάζουσι πόθῳ
τὴν ἁγίαν μνήμην σου ».

ᾠδὴ ζ΄. *Θεοῦ συγκατάβασιν*

Εὐλόγησε κύριος
φιλοφροσύνης τὸ ἐγκατάλειμμα
ὡς ἀλεύρου ὑδρίαν
καὶ ὡς ἐλαίου καμψάκην, ὃ κατιδὼν
σὺν τοῖς συνοῦσιν
ἐβόα θαμβούμενος
ὁ ἱερὸς βασιλεύς·
« εὐλογητὸς ὁ Θεός ».

Πανήγυριν ἄγοντες
κλητήν, ἁγίαν τῆς μεταστάσεως,
στοιχηδόν σου τὰ τέκνα,
[illegible]
καὶ μεμνημένοι
f. 271v ‖ ἱδρώτων καὶ πόνων σου,
παρακαλοῦμεν τυχεῖν
ὧν σὺ τετύχηκας.

καθ. v. 13 desideratur, fortasse Θεοδόσιε ὅσιε 14 post πρέσβευε cetera om. cd.

heirm. ζ΄ EE 219, n. 314, Joannis 118 Εὐλόγησε pro Ηὐλόγησε: cfr. Psaltes, 202; Mitsakis, 54

120-121 cfr. III Regn. 17,12-16

θεοτ. Ἐσκήνωσεν ἅγιος
ὁ τῶν ἁγίων, ὑπεραγία, ἐν σοί,
προελθὼν εἷς ἐκ δύο
τῶν ἐναντίων, σαρκὸς καὶ πνεύματος,
ᾧ σὺν πατρί τε
καὶ πνεύματι μέλπομεν·
« εὐλογητὸς ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

ᾠδὴ η΄. *Ἑπταπλασίως κάμινον*

Ἵνα Θεῷ εὐάρεστος
χρηματίσῃς, τῆς δόξης αὐτοῦ
καταξιωθήσει, δόξαν τὴν εὐμάραντον
καὶ πλοῦτον ἐπίκηρον
καὶ ἡδονὰς σαρκὸς καὶ τρυφὴν
καταλελοιπώς, ἐν προσευχαῖς καὶ νηστείαις
αὐτῷ προσῳκοιώθης
καὶ αὐτοῦ τῆς ἀφράστου
χαρᾶς κατηξιώθης
εἰς πάντας τοὺς αἰῶνας.

Ῥείθροις δακρύων, ὅσιε,
καὶ πηγῇ τοῦ βαπτίσματος
ῥύπον ἁμαρτίας ψυχικὸν ἀπέκλυσας
καὶ πόνοις ἀσκήσεως
σαρκὸς ἀπονιψάμενος
f. 272 || ἅπασαν κηλῖδα τῷ Θεῷ ἀνεκράθης
βοῶν κεκαθαρμένος·
« ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

θεοτ. Ἁγιωσύνης σκήνωμα,
καθαρότητος τέμενος
ὤφθης ἐν ἁγίοις τὸν ἀναπαυόμενον

139 μέλπωμεν 140-141 vv. intermittit scriba
heirm. η΄ ΕΕ 219, n. 314, Joannis 142-144 Ἵνα ... καταξιωθήσει: cfr. PSALTES, 217; MITSAKIS 77,138-139 158 καὶ καθαρμένων vv. 160-161, 170-171 detruncat

ἁγίως κυήσασα,
ὑπεραγία δέσποινα,
ὃν μὴ διαλίπῃς ἐξευμενιζομένη
ἡμῖν τοῖς μελῳδοῦσιν·
« ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας».

ᾠδὴ θ΄. *Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανὸς*

Γηθόμενος ἐλπίσι ταῖς ὑπὲρ νοῦν
ἀγαθῶν αἰωνίων, παρέθου Θεῷ
πνεῦμα τὸ σὸν ἁγιοπρεπῶς, μεθ' ὑπομονῆς
καλῶς ἀγωνισάμενος,
ἀποστολικῶς δὲ τετελεκὼς
τὸν δρόμον καὶ τὴν πίστιν
τετηρηκώς, ἐστέφθης
δικαιοσύνης διαδήματι.

Ἀνάλογον τῷ βίῳ τὴν τελευτὴν
ἀπηνέγκω καὶ ἄθλων τὰ ἔπαθλα·
ὅθεν ἡ σὴ θεοειδεστάτη, πάτερ, ψυχὴ
f. 272v || ὑπὸ ἀγγέλων δόξῃ πολλῇ
ἀναφερομένη πρὸς οὐρανοὺς
ὠράθη τοῖς ἀξίοις·
καὶ γὰρ δοξάζειν οἶδε
Θεὸς ἐκεῖνον τοὺς δοξάζοντας.

θεοτ. Σοφία, θεοτόκε, παντουργικὴ
συλληφθεῖσα ἐν σοὶ ἀπετέχθη ἐκ σοῦ,
Λόγος Θεοῦ, δύναμις εἰκών τε καὶ χαρακτήρ,
ἀνδρὸς πορείας ἄνευθεν,
ἄνθρωπος ὁρώμενος καὶ Θεὸς
νοούμενος ἀφράστως,
μιᾷ μὲν ὑποστάσει,
ἐν δὲ δυσὶ τελείαις φύσεσιν.

167 διαλείπῃς
heirm. θ΄ ΕΕ 220, n. 314, Joannis 193 ἀφάστως

175-179 II Tim. 4,7-8 186-187 I Regn. 2,30

12 AUG. *CANON XI*

IN SANCTUM EUPLUM MARTYREM

Synaxarium, 881-884: Ἄθλησις τοῦ ἁγίου μάρτυρος Εὔπλου. Ὃς ἦν ἐπὶ Διοκλητιανοῦ βασιλέως, ἐκ πόλεως Κατάνης τῆς Σικελῶν ἐπαρχίας, διάκονος τῆς ἐκεῖσε ἐκκλησίας. Διαβληθεὶς δὲ πρὸς τὸν ἄρχοντα Καλβισιανὸν καὶ τὸν Χριστὸν μὴ ἀρνησάμενος, πρῶτον μὲν δεσμεῖται χεῖρας καὶ πόδας πρὸς τοῖς γόνασιν. Ἔπειτα κρεμᾶται ἐπὶ ξύλου ὀρθοῦ καὶ χερσὶ σιδηραῖς ξέεται, ὅτε καὶ θείας φωνῆς πρὸς αὐτὸν ἐλθούσης ἀνέθορε. Μετὰ δὲ ταῦτα σφύραις σιδηραῖς τὰς κνήμας αὐτοῦ θλάττεται καὶ ἐν τῇ εἱρκτῇ ἀπορριφείς, εὐχῇ μόνῃ πηγὴν ὕδατος πεποίηκεν ἀναδοθῆναι ἐν τῇ φυλακῇ· εἶτα πάλιν ἐκβληθείς, σιδήροις ὀξέσι πεπυρακτωμένοις τὰς ἀκοὰς αὐτοῦ κατετρήθη, καὶ αὖθις τῇ τοῦ ξίφους τιμωρίᾳ κατεδικάσθη.

Crypt. Δ.α. XII	= Cp, ff. 63-65v
Crypt. Δ.α. XXIII	= Cn, ff. 181-183
Matrit. gr. 4694	= A, ff. 180-181v
Paris. Coislin. gr. 218	= Ha, ff. 70-71v
Sinait. gr. 631	= Σρ, ff. 32-33
Sinait. gr. 632	= Στ, ff. 59v-61

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Τὸν θεῖον Εὔπλον εὐπλόως ἐπαινέσω.

Ἦχος γ'.

ᾠδὴ α'. *Τῷ ῥυσαμένῳ*
τὸν Ἰσραὴλ ἐκ δουλείας

Ταῖς φωτοβόλοις
καὶ λαμπροτάταις λαμπάσι
καταυγασθείς, πανόλβιε, ταῖς τοῦ σωτῆρος,

tit. Κανὼν εἰς τὸν ἅγιον μάρτυρα εὔπλον ἀκροστιχὶς ... Σρ acrostichidem in rubrica om. Στ nomen Γεωργίου post acrostichidem refert A, sigla Θεοφάνους in margine praebent Ha Σρ

heirm. α' EE 78, n. 110, Germani; heirm. integrum praebent A et Cp Σρ (in margine altera manu scriptum) 1 Ταῖς φανωτάταις A

Εὔπλε στεφανηφόρε Χριστοῦ,
αὐτοπροαίρετος μάρτυς ἀνεδείχθης.

Ὁ θεῖος πόθος
τὴν σὴν ψυχὴν ἀναφλέξας
καρτερικὴν εἰργάσατο καὶ στερροτάτην·
ὅθεν καὶ προσεχώρησας, σοφέ,
κῆρυξ αὐτόκλητος βασάνων πόνοις.

Νενευρωμένος
τῇ τοῦ σταυροῦ πανοπλίᾳ,
τὴν τετρακτύν, θεόπνευστε, τῶν θεοπνεύστων,
μάρτυς, εὐαγγελίων Χριστοῦ
ἐπιφερόμενος ἐπέστης χαίρων.

θεοτ. Θεορρημόνων
τὰς ἐπὶ σοὶ προφητείας
τὸν τῷ πατρὶ συνάναρχον υἱὸν τεκοῦσα
χρόνων νῦν ἐπ' ἐσχάτων, ἁγνή,
πάσας ἐπλήρωσας, παρθενομῆτορ.

ᾠδὴ β'. *Πρόσεχε,*
οὐρανέ, καὶ λαλήσω
καὶ ἀνυμνήσω Χριστὸν τὸν βασιλέα.

Ἔθηκας
ἐν Θεῷ τὰς ἐλπίδας
καὶ τοὺς ἀγῶνας ὑπέδυς τῶν μαρτύρων.

5 μάρτυς ἀνεδείχθης] ἐδείχθης μάρτυς Cn Ha μάρτυς ἐδείχθης A Σρ Στ 7 καταφλέγων Cn 9 καὶ om. A Σρ Στ 11-15 troparium desideratur in Στ 13 θεόπνευστε] πανεύφημε Cn A Ha Στ 14 Χριστοῦ] τοῦ χριστοῦ Cn v. 15 ἐπέστης χαίρων πρὸς μαρτυρίου τρίβον Σρ 16 Θεωρῆμον Cn Σρ Στ

ode β' desideratur in Στ

heirm. β' EE 78, n. 110, Germani; heirm. 2 καὶ λαλήσω om. Σρ 22 ἐν] τῷ Cn 23 τῶν μαρτύρων] μάρτυς Cn

9-10 P. FRANCHI DE' CAVALIERI, *Note agiografiche*, fasc. 7°, « Studi e Testi » 49, Roma 1928, 47[5-6]: ... ἔκραξεν Εὔπλος αὐτοῖς καὶ εἶπεν· « ἀποθανεῖν θέλω, χριστιανὸς γάρ εἰμι ... »

13-15 P. FRANCHI DE' CAVALIERI, o.c., 47[7-8]: ... εἰσῆλθεν ἐν τῷ σικριταρίῳ ὁ μακάριος Εὔπλος τὰ ἄχραντα εὐαγγέλια ἐπιφερόμενος, ...

Ἴθυνας
πρὸς τὴν ἄνω πορείαν
τῆς διανοίας τὸ κίνημα, τρισμάκαρ.

Ὄλβιος
ἀπεφάνθης, θεόφρον,
τῆς ἀκηράτου ζωῆς ἠξιωμένος.

θεοτ. Νύμφην σε
καὶ παστάδα, παρθένε,
τοῦ Θεοῦ πάντες συμφώνως ἀνυμνοῦμεν.

ᾠδὴ γ'. *Ἐστερεώθη ἡ καρδία μου ἐν κυρίῳ*

Ἐστερεώθη ἡ καρδία σου τῇ ἐλπίδι,
f. 63v ὑψώθη, ‖ ἔνδοξε, τῇ ἀγάπῃ
καὶ καρτερίας ἔμπλεως,
μάρτυς, γέγονας.

Ὑποδεικνὺς τὸ εὐαγγέλιον τῆς εἰρήνης,
θεομάχους φάλαγγας ἐτροπώσω
τῶν πολεμίων, ἔνδοξε,
θείᾳ χάριτι.

θεοτ. Πεποικιλμένη ἐν στολίσματι διαχρύσῳ,
θεοτόκε πάναγνε, τοῦ υἱοῦ σου
ἐκ δεξιῶν σὺ παρέστηκας
ὡς βασίλισσα.

25 πορείαν] χωρίαν Σρ 26 τὸ κίνημα] κινήματα Cn 30 Νύμφη Σρ heirm. γ' EE 78, n. 110, Germani; integrum heirm. proferunt A et Cp Σρ (in margine) 35 ἔμπλεος Cp A Στ 37 Ὑποδεικνύον τοῦ εὐαγγελίου Σρ 39 τῶν om. Cn A Στ τὸν πολέμιον Σρ 41 στολίσμασι διαχρύσοις Cn Ha Σρ Στ 43 σὺ om. Cn Ha Στ σὺ] νῦν Σρ

Κάθισμα.

Ἦχος α'. *Τὸν τάφον σου, σωτήρ,*

Τοὺς νόμους τοῦ Χριστοῦ
....

ᾠδὴ δ'. *Τὴν ἀκοήν σου, κύριε,*

Λελαμπρυσμένος αἵματι
τοῦ τῷ ξύλῳ παγέντος δεσπότου
ἐξέχεας,
παναοίδιμε, τὸ σὸν αἷμα,
τὴν δι' αὐτὸν
ὑποστὰς ἑκουσίως
τελευτήν, ἀθλοφόρε,
μαρτύρων τὸ καύχημα.

Ὅλον σαυτὸν εὐπρόσδεκτον
προσενήνοχας Θεῷ θυσίαν·
βασάνοις γὰρ
ἀναιρούμενος, ἀθλοφόρε,
μαρτυρικῆς
ἠξιώθης χορείας,
εὐπρεπείας στεφάνοις
κοσμούμενος, ἔνδοξε.

θεοτ. **Νενεκρωμένην πταίσμασι**
τὴν ψυχήν μου καὶ ταῖς ἁμαρτίαις
ὡς εὔσπλαγχνος
ἐξανάστησον, θεομῆτορ,

κάθ., quod in Cn Ha deest, MR VI, 380; ipsum ante canonem proferunt Σρ (f. 31) Στ (in margine f. 50v)

heirm. δ' EE 79, n. 111, Germani; heirm. integrum Cp A et Σρ (in margine) tradunt 45 Λελυτρωμένος Cn Ha Σρ Στ αἵματι] ἔνδοξε Cn 46 τοῦ τῷ] τῶ τοῦ Cp A Ha Σρ τοῦ om. Cn ξύλου Cp A Ha Σρ 51 τελετὴν Cn 56 ἀθλοφόρε] θεοφόρε Σρ 59 εὐπρεπεία Ha 61 Νενεκρωμένον Cn Νενεκρομένη Σρ

53-54 cfr. Rom. 12,1

τῇ τῆς ζωῆς
ἐνεργείᾳ, παρθένε,
τῆς ἐκ σοῦ σαρκωθείσης
δι' ἄφατον ἔλεος.

ᾠδὴ ε'. *Ὀρθρίζοντες ἀνυμνοῦμέν σε, Λόγε, υἱὲ Θεοῦ μονογενῆ,*

f. 64 ‖ Ἐπέστη σου
ἡ χαρμόσυνος μνήμη
φωτιστικαῖς μαρμαρυγαῖς
καταλαμπρύνουσα σαφῶς
καὶ φωτίζουσα ψυχὰς
τῶν ἀνυμνούντων σε,
τοῦ Χριστοῦ στρατιῶτα.

Ὑπέμεινας
σταθηρᾷ διανοίᾳ
τῶν σῶν μελῶν τὴν ἐκκοπὴν
καὶ τῶν βασάνων τὰς πληγάς,
αἰωνίων ἀγαθῶν
διὰ τῆς πίστεως
προορῶν τὰς ἐλπίδας.

θεοτ. Πανύμνητε
θεοτόκε παρθένε,
ἡ ὑπὲρ νοῦν τῷ πλαστουργῷ
καὶ τοῖς ἀνθρώποις ἀληθῶς
μεσιτεύσασα, ἁγνή,
τοὺς ἀνυμνοῦντάς σε
τοῦ σωθῆναι δυσώπει.

---

67 τοῦ ἐκ σοῦ σαρκωθέντος Cn

heirm. ε' EE 78, n. 110, Germani; heirm. integrum servant Cp A et Σρ (in margine) heirm. 3 μονογενῆ cdd. pro μονογενὲς (= EE): cfr. PSALTES, 152 75 τοῦ] τὸν Στ στρατιώτην Ha Σρ Στ 77 σταθερᾷ A Ha Στ 78 σῶν om. Σρ 84 παρθένε] μαρία Cn 87 ἁγνή] σεμνή Cn A Ha Στ 89 τοῦ σωθῆναι] λυτρωθῆναι Cn A Ha λύτρωσε τῶν Στ δυσώπει] κινδύνων Cn Στ

ᾠδὴ ς'. *Τοὺς εἰς τὰ τέλη τῶν αἰώνων*

Λόγῳ Θεοῦ κεκοσμημένος
καὶ σοφίᾳ λαμπρυνόμενος,
θεογνωσίας φωτισμῷ
τῆς ἀπάτης τὴν σκοτόμαιναν
ἠμαύρωσας κραυγάζων·
« σῶσον, σωτήρ,
ὡς ἔσωσας τοῦ θηρὸς τὸν προφήτην ».

Ὁ πυρπολούμενός σου ζῆλος
εὐσεβείας ἀμαρύγμασι
τῆς ἀσεβείας τὸν κρυμὸν
τὸν ψυχόλεθρον διέλυσε·
Χριστῷ γὰρ ἀνεβόας·
« σῶσον, σωτήρ,
ὡς ἔσωσας τοῦ θηρὸς τὸν προφήτην ».

θεοτ. Ὡς θεοτόκος ὑπερέβης
τῶν ἀγγέλων τὴν εὐπρέπειαν·
πλὴν γὰρ τοῦ πάντων ποιητοῦ
ἀνωτέρα πάντων πέφυκας·
διό σοι νῦν βοῶμεν·
« σῶσον ἡμᾶς,
παρθένε, ἡ τὸν Θεὸν συλλαβοῦσα ».

Κοντάκιον.

Ἦχος β'. *Τῷ Θεῷ ἀπὸ μήτρας ἐκλελεγμένη*

Ἱερῶς ἐναθλήσας ὑπὲρ τριάδος
....

---

heirm. ς' EE 78, n. 110, Germani; heirm. integer in A 93 τὴν om. Σρ σκοτόμηναν Cp 95-96 vv. varie detruncantur in Στ Cn v. 96 τοὺς ἀνυμνοῦντας τὴν σὴν βασιλείαν Σρ 100 τὸν] τὴν Cn τοῦ Σρ ψυχολέθρου Σρ διέλυσε] διώλεσεν A 102-103 vv. varie recidunt Cp Στ A Cn v. 103 τοὺς ἀνυμνοῦντας τὴν σὴν βασιλείαν Σρ 104 post ὑπερέβης add. πᾶσαν ἔννοιαν Σρ 109 ἡμᾶς] σωτὴρ Cn, qui v. 110 detruncat

κοντάκ. et οἶκ. PAS I, 590-592; eadem om. Cn A Ha Σρ Στ

⟨Οἱ οἶκοι.⟩

Τὸν τὰ πάντα ἐκ μὴ ὄντων

....

f. 64v 'Ο γὰρ λόγοις τεθραμμένος

....

'Υπεισέδυ ὁ Βελίαρ

....

Λόγοις ποίοις ἐγκωμίων

....

'Ο τοῦ σκότους ὑπηρέτης

....

'Υπὲρ κόσμου τὸν σωτῆρα

....

f. 65 ᾠδὴ ζ'. *Τὴν ἐν καμίνῳ φλόγα*
κατέσβεσαν οἱ παῖδες
καὶ τὴν οὐράνιον δρόσον
ἀπέλαβον τῇ πίστει.

Στεφηφορῶν διέβης
τὴν θύραν τοῦ θανάτου
καὶ πρὸς ἀθάνατον δόξαν
μετέβης, ἀθλοφόρε.

'Εν εὐφροσύνῃ χαίρων
παρέστης τῷ δεσπότῃ,
δικαιοσύνης στεφάνοις
κοσμούμενος, τρισμάκαρ.

θεοτ. Παρθενομήτωρ ὤφθης,
ἀσπόρως συλλαβοῦσα
τὸν ἐνυπόστατον Λόγον,
παρθένε παναγία.

---

heirm. ζ' EE 77, n. 109, Andreae; heirm. integrum servant Cp A et Σρ (in margine) heirm. 2 κατέσβεσαν] κατεπάτησαν Σρ 3 post δρόσον add. δν Σρ 4 ἀπέλαβον] ἐδέξαντο EE 111 Στεφανηφόρος Cn A Ha Σρ Στ 113 post πρὸς add. τὴν A 119 Παρθενομῆτορ Cn A Σρ Στ 121 τὸν om. Cn v. 122 πανύμνητε παρθένε Cn A Ha Σρ Στ

ᾠδὴ η'. *Τὸν ἐξ ἀνάρχου τοῦ πατρὸς*
γεννηθέντα πρὸ αἰώνων υἱὸν
καὶ ἐπ' ἐσχάτων
ἐκ τῆς θεοτόκου
σάρκα ἐνδυσάμενον
ὡς τέλειον ἄνθρωπον
καὶ Θεὸν ἐκ τοῦ Θεοῦ
ὑμνεῖτε, εὐλογεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

'Αναλαβὼν τὴν τοῦ σταυροῦ
πανοπλίαν, ἐταπείνωσας
τὴν ἐπηρμένην
ὀφρὺν τῶν δαιμόνων
ὄμμα τε μετέωρον
κατέβαλες, ἔνδοξε,
αἰκισμοῖς ἐγκαρτερῶν
καὶ κράζων· « εὐλογεῖτε
καὶ ὑπερυψοῦτε
Χριστὸν εἰς τοὺς αἰῶνας ».

'Ιερουργὸς τῶν τοῦ Χριστοῦ
μυστηρίων ὡς ὑπάρχων, σαφῶς
προδιεσκόπεις
τὴν ἀποκειμένην
σοὶ μακαριότητα
καὶ χαίρων ὑπέμεινας
τῶν μελῶν τὴν ἐκκοπὴν
κραυγάζων· « εὐλογεῖτε

---

heirm. η' EE 79, n. 111, Germani; heirm. integrum proferunt A et Cp Σρ (in margine) discrepantem autem in nonnullis verbis ab EE heirm. 2 υἱὸν] θεὸν A Σρ EE 5 ἐνδυσάμενον] προσλαβόμενον A 7 ἐκ τοῦ Θεοῦ] ἀληθινὸν A EE 8-10 ὑμνοῦμεν εὐλογοῦμεν / καὶ ὑπερυψοῦμεν / εἰς πάντας τοὺς αἰῶνας Σρ 9 post ὑπερυψοῦτε heirm. excidunt Cp A 126 δαιμόνων] τυράννων Cn A Ha Σρ Στ 130 καὶ κράζων] κραυγάζων Cn Σρ Στ 131-132 vv. excidunt Cn Ha Σρ Στ 132 Χριστὸν] αὐτὸν A 133-142 tropario caret Στ 135 προδιεκόπης Σρ 138 ὑπέμεινας] ἐκραύγαζες Σρ, qui post ἐκραύγαζες add. ὑμνῆτε et cetera detruncat

καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

θεοτ. Νόμου τὸ πλήρωμα, Χριστόν,
συλλαβοῦσα, διεσκέδασας
τὴν πρὶν κατάραν
τοῦ νόμου, παρθένε·
πᾶσι γὰρ ἐπήγασας
τὴν θείαν χρηστότητα
καὶ χειμάρρουν τῆς τρυφῆς·
διό σε εὐλογοῦμεν
καὶ ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ'. *Σὲ τὴν ἀκατάφλεκτον βάτον*

Ἔστης τῆς ἐφέσεως, Εὔπλε,
τῷ Χριστῷ προσπελάσας
καὶ τυχὼν τῶν ἀγαθῶν
τοῦ ἀκροτάτου,
f. 65v καὶ τοῦ θείου, ‖ παμμάκαρ, φωτὸς ἐμφορούμενος.

Στίφει συγχορεύων μαρτύρων
ὡς καλλίνικος μάρτυς,
τοὺς τελοῦντάς σου πιστῶς
τὴν θείαν μνήμην
ἱκετεύων ὡς μάρτυς Χριστοῦ περιφρούρησον.

θεοτ. Ὤφθης καὶ παρθένος καὶ μήτηρ
συλλαβοῦσα τὸν Λόγον,
τὸν τῶν ὅλων ποιητήν,
εὐλογημένη·
διὸ πάντες πιστοί σε ἀεὶ μεγαλύνομεν.

141-142 vv. varie detruncant Cn Ha A Cp 143 χριστοῦ Σρ 149 χειμάρρους Ha 151-152 vv. varie abrumpunt cdd.

heirm. θ' EE 79, n. 111, Germani; heirm. integrum referunt A et Cp Σρ (in margine) 154 Χριστῷ] σταυρῷ Cn 155 τυχὼν] ψυχῶν Στ v. 156 τῶν ἀκηράτων Cn 157 παμμάκαρ] μάκαρ Cn Ha Στ 158 μαρτύρων] ἀγγέλων A 162 ὡς om. Cn Ha Στ χριστὸν Στ 167 post πάντες add. οἱ Σρ πιστοί σε ἀεὶ] σὲ οἱ πιστοὶ Cn Στ οἱ πιστοὶ A

143-146 cfr. Gal. 3,13 149 Ps. 35,9

IN S. MAXIMUM CONFESSOREM ET DISCIPULOS

Synaxarium, 887-890: Ἀνάμνησις τῆς μεταθέσεως τῶν λειψάνων τοῦ ἁγίου Μαξίμου τοῦ ὁμολογητοῦ. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου, τοῦ ἐπιλεγομένου Πωγωνάτου, ἐκγόνου Ἡρακλείου. Ταῖς μεγίσταις οὖν τιμαῖς ὑπὸ τῶν πρώην βασιλέων δεξιωθεὶς καὶ ἱκανὸς ὢν ἐν ταῖς πολιτικαῖς διοικήσεσι τὰ πρακτέα ὑφηγεῖσθαι διὰ λόγον καὶ τρόπον καὶ τὴν ἀπὸ χρόνου σύνεσιν, εἰς τὸ τοῦ πρωτασηκρήτης προεβιβάσθη ἀξίωμα καὶ βουλῆς τοῖς βασιλεῦσι γέγονε κοινωνός. Ἐπεὶ δὲ ἡ πονηρὰ καὶ ἔκφυλος δόξα τῶν μίαν θέλησιν ἐπὶ τῆς διὰ σαρκὸς τοῦ Χριστοῦ οἰκονομίας ἀνοήτως καὶ δυσσεβῶς εἰσαγαγόντων ἐπεκράτει, ὅσον ἐπ' αὐτοῖς τὴν μίαν τῶν δύο φύσεων ἀναιρούντων καὶ διατάγματά τινα τὴν κακοδοξίαν κρατύνοντα κατὰ τὴν ἀγορὰν ἐπόμπευε καὶ ἐπὶ τῆς μεγάλης προὔκειτο ἐκκλησίας, οὐκ ἀνασχόμενος τῇ τῶν ἀσεβῶν κοινωνίᾳ συνασεβεῖν· καὶ ἀφεὶς τὰς κοσμικὰς ἀρχὰς εἵλετο μᾶλλον ἐν τῷ οἴκῳ τοῦ Θεοῦ παρερρῖφθαι ἢ ἐν σκηνώμασιν ἁμαρτωλῶν κατοικεῖν. Καὶ καταλαβὼν τὸ ἐν Χρυσοπόλει μοναστήριον, τὴν κόμην ἀπέθετο· οὗ καὶ καθηγητὴς ὕστερον γέγονε. Εἶτα θείῳ ζήλῳ ὥσπερ ὑπὸ πυρὸς ἐξαφθείς, τὴν πρεσβυτέραν Ῥώμην κατέλαβεν καὶ Μαρτῖνον τὸν μακαριώτατον πάπαν τοπικὴν ἀθροίσαντα παρεσκεύασε σύνοδον ἀναθεματίσαι τοὺς ἀρχηγοὺς τοῦ δυσσεβοῦς δόγματος τῶν μίαν ἐπὶ Χριστοῦ θέλησιν ληρωδούντων· καὶ εἰς ἔλεγχον τῶν οὕτω φρονούντων λόγους γράψας καὶ ἐπιστολὰς λογικαῖς ἀποδείξεσι καὶ γραφικαῖς τῆς καθ' ἡμᾶς πίστεως τὴν ἀλήθειαν βεβαιούσας συνθείς, πανταχοῦ τῆς οἰκουμένης ἐξέπεμψεν. Ἀναζεύξας δὲ ἀπὸ Ῥώμης μετὰ δύο Ἀναστασίων τῶν μαθητῶν αὐτοῦ, εἰς εὐθύνας παρὰ τῆς συγκλήτου καθίσταται ὁμοδοξούσης τῇ τοῦ βασιλέως αἱρέσει, ὅτι πάντων ὑπεικόντων τῷ βασιλεῖ, αὐτός τε ἀνθίσταται καὶ τοὺς ἄλλους πρὸς ἀποστασίαν κινεῖ, ἐναντία διὰ τῶν ἐπιστολῶν φρονεῖν μεταπείθων αὐτούς. Ἐπὶ τοῦτο πέμπεται ἐν φρουρᾷ κατὰ τὴν Θρᾴκην καὶ ἐπιμένων τῇ ὀρθοδόξῳ πίστει τὴν χεῖρα καὶ τὴν γλῶτταν ἀκρωτηριάζεται, κἀκεῖθεν εἰς ὑπερορίαν κατὰ τὴν Λαζικὴν πέμπεται, ἔνθα ἐπὶ τρισὶ χρόνοις διαγαγὼν καὶ ταῖς οἰκείαις τοῦ σώματος χρείαις αὐτὸς ὑπηρετησάμενος, καίτοι πλήρης ὢν ἡμερῶν, μικρὸν νοσήσας ἀνεπαύσατο ἐν κυρίῳ. Καὶ κατετέθη ἐν τῇ μονῇ τοῦ ἁγίου Ἀρσενίου ἐν αὐτῇ τῇ χώρᾳ τῶν Λαζῶν, πολλὰς θαυμάτων ἐνεργείας καθ' ἑκάστην ποιῶν. Λέγεται δὲ μετὰ τὴν ἐκτομὴν αὖθις ὑπὸ τοῦ Θεοῦ παραδόξως ἀποκαταστῆναι τὴν γλῶτταν καὶ τρανῶς φθέγγεσθαι, μέχρις ἂν ἐν τῷ βίῳ ὑπῆρχε. Τῶν δὲ δύο αὐτοῦ μαθητῶν ὁ μὲν πρεσβύτερος Ἀναστά-

σιος, ἴσα τῷ διδασκάλῳ τὴν χεῖρα καὶ τὴν γλῶτταν τμηθείς, μακρὰν ἐξωρίσθη. Ὁ δὲ νεώτερος ἔν τινι τῶν κατὰ τὴν Θράκην φρουρίων πεμφθείς, τὸν βίον κατέλυσεν.

Sinait. gr. 631	= Σρ,	ff. 39-40ᵛ
Crypt. Δ.α. XXIII	= Cn,	ff. 186-187ᵛ
Vat. gr. 2292	= Wf,	ff. 72-78ᵛ
Paris. gr. 13	= Q,	ff. 364ᵛ-365ᵛ
Meteor. Metamorph. 150	= Φ,	ad diem

Canon secundum traditionem Sinait. gr. 631 = Σρ, ff. 39-40ᵛ

Ὁ κανών· ⟨Ἀνδρέου.⟩

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Τὸν Ἰσραὴλ ἐκ δουλείας*

* Τῆς ἀνωτάτω σοφίας
τοὺς θησαυροὺς κτησάμενος
ἐν τῇ καρδίᾳ, ὅσιε,
δι' αὐτῆς ἐπλούτισας
τὸν κόσμον ἐν τοῖς δόγμασιν.

Τὴν δι' αἵματος λατρείαν
μυσταγωγήσας, ὅσιε,
προσήγαγες τὰ μέλη Χριστῷ
καὶ τὴν ἱεράν σου ψυχὴν
ἐνθέως καθιέρωσας.

---

traditio canonis in cdd. et tropariorum ordine et amplitudine differt; de hoc in Commentario tractavimus

troparia asteriscis signata (praeter θεοτ.) ed. in PG 90,205-213

tit. Κανὼν εἰς τὸν ὅσιον πατέρα ἡμῶν μάξιμον τὸν ὁμολογητὴν καὶ εἰς τοὺς δύο αὐτοῦ μαθητὰς Σρ, qui autem nomen auctoris om. Ὁ κανὼν et in margine sigla Θεοφάνους Cn tantum ὁ κανὼν Wf Ἕτερος κανὼν τοῦ ὁσίου Q, qui nomen auctoris tacet Ὁ κανὼν et in margine sigla Ἀνδρέας Φ

heirm. α' EE 226, n. 324, Germani 1 ἀνωτάτου Wf Φ PG 2 κτησάμενοι Wf 3 post καρδίᾳ add. σου Q 4 ἐπλούτησας Σρ Φ 5 ἐν τοῖς] τοῖς σοῖς Wf Q Φ PG 6-10 troparium deest in Cn pro vv. 6-25 alia troparia leguntur in Wf Q Φ, vide pp. 151-152

Τὰς φρυγανώδεις αἱρέσεις
τῇ πυρφόρῳ γλώττῃ σου
κατέφλεξας, ἀοίδιμε,
τὸν σωτῆρα ἕνα υἱὸν
κηρύξας ἐν δυάδι μορφῶν.

Ὡς ἐν τριπλόκῳ σχοινίῳ
συναρμοσθέντες, ὅσιοι,
τὸν ἕνα τῆς τριάδος Χριστὸν
ἐκηρύξατε εὐσεβῶς
διπλοῦν τὸν ἀδιαίρετον.

θεοτ. * Διὰ παντός, θεοτόκε,
τὸν ἐκ σοῦ ἱκέτευε
ἀρρήτῳ λόγῳ σαρκωθέντα Θεὸν
πάσης περιστάσεως
ῥυσθῆναι τὰς ψυχὰς ἡμῶν.

ᾠδὴ β'. *Πρόσεχε, οὐρανέ, καὶ λαλήσω*

Διέρρηξας
τὰ δεσμὰ τῶν βλασφήμων
ὥσπερ ἀράχνης ὑφὴν
f. 39ᵛ καὶ ‖ συνεστήσω, θεόφρον,
τοὺς λόγους τῆς εὐσεβείας ἡμῶν.

Ἐδίωξας
τὰς αἱρέσεις ἐκ μέσου
τῆς ἐκκλησίας, σοφέ,
τῇ θεοπλόκῳ σφενδόνῃ
τρεψάμενος τὴν ἀσέβειαν.

---

15 δυάδα Σρ μορφῇ Cn 18 τὸν om. Cn 21-25 θεοτ. MR VI, 532; AHG III, 135.201; V, 293 v. 25 λυτρώσασθε τοὺς δούλους σου Cn MR AHG III, 135; V, 293 ῥυσθῆναι] σωθῆναι AHG III, 201 post ἡμῶν add. τὸ μέγα ἔλεος Σρ, quod metri causa expunximus

ode β' deest in Cn Wf Q Φ

heirm. β' EE 226, n. 324, Germani

11-13 cfr. Is. 47,14

Ἐπλούτησας
τὸν ἀπέραντον πλοῦτον
τῇ ἐπιγνώσει Χριστοῦ
καὶ θησαυρὸν τὴν καρδίαν
ἐκτήσω, πάτερ, σοφίας Χριστοῦ.

θεοτ. * Ἄχραντε
θεοτόκε παρθένε,
μόνη πανύμνητε,
τὸν υἱόν σου δυσώπει
σωθῆναι τοὺς ἀνυμνοῦντάς σε.

ᾠδὴ γ΄. *Οὐκ ἔστιν ἅγιος*
ὡς ὁ κύριος

Ἀστράπτεις τοῖς λόγοις σου
ὥσπερ ἥλιος φαιδρὸς
καὶ κηρύττεις ἐν μνήματι
ὡς ζῶν, παμμακάριστε,
τὸν σωτῆρα, θεόφρον,
διττὸν τοῖς θελήμασι,
φυλάττων τὸ ἀμέριστον.

Αἱ βίβλοι σου κράζουσι
τὰ παθήματα Χριστοῦ
καὶ τὸ αἷμά σου, ὅσιε,
βοᾷ σου τὰ θαύματα,
ἡ δὲ χείρ σου τμηθεῖσα
πρεσβεύει λυτρώσασθαι
κινδύνων τὰς ψυχὰς ἡμῶν.

* Τὰ αἵματα στάζουσι
τῆς τμηθείσης σου χειρὸς
καὶ τὰ δόγματα βρύουσι

41-45 θεοτ. Anth I, υξζ΄; AHG I, 75; III, 65.136.254; V, 77.201; VI, 377; VII,188

hierm. γ΄ EE 226, n. 323, Germani; heirm. integrum Q profert pro vv. 46-59 alia troparia inveniuntur in Wf Q Φ, vide pp. 152-154 51 ταῖς θελήσεσιν Cn 60 στάζουσι] κράζουσι Cn 61 τμηθείση Σρ τιμίας Wf Q Φ PG 62 τὰ δόγμα Wf βρύουσι] ῥύουσι PG

τῆς σώφρονος γλώσσης σου
τῆς ἐνάρθρως βοώσης
μετὰ τὴν ἐκκοπὴν αὐτῆς
Χριστὸν ἐν δύο φύσεσιν.

θεοτ. * Παρθένος ἔτεκες,
ἀπειρόγαμε,
καὶ παρθένος ἔμεινας,
μήτηρ ἀνύμφευτε,
θεοτόκε Μαρία·
Χριστὸν τὸν Θεὸν ἡμῶν
ἱκέτευε σωθῆναι ἡμᾶς.

ᾠδὴ δ΄. *Ἐξ ὄρους κατασκίου,*
Λόγε, ὁ προφήτης

Σὺ τὸν Δανιὴλ
μιμούμενος, τρισμάκαρ,
ἐπιθυμιῶν
ἀνὴρ ἀνηγορεύθης·
τῇ γὰρ ἐφέσει τῆς θείας φιλανθρωπίας
καὶ τὴν τῶν ὄντων κρίσιν ἔμαθες.

Σὺ τὸν Ἰωνᾶν
ζηλώσας, ἀθλοφόρε,
ὅλον τὸν βυθὸν
τοῦ γράμματος διῆλθες
καὶ τὸ τρισήλιον σέλας ἐν τῇ καρδίᾳ
ὡς γῇ ἁγίᾳ ὑπεδέξω, σοφέ.

65 μετὰ om. Σρ ἐκκοπὴν] ἐκτομὴν Wf Q Φ PG 67-73 θεοτ. MR I, 291; AHG III, 137; V, 212.231; diversum proferunt Wf Q Φ, vide p. 154 70 μῆτερ AHG III; V, 212 72 ἡμῶν om. MR

heirm. δ΄ EE 224, n. 321, Joannis 74-97 troparia odes δ΄ aliis substituunt Wf Q Φ, vide pp. 154-156 77 ἀνηγορεύθης] ἀνὴρ ἀνηθης Σρ 78 θείας] σῆς Cn 80 Ἰωνᾶν] δανιὴλ Cn, qui v. 74 repetit 84 τρισήλιον] τρισόλβιον Cn

74-77 Dan. TH. 9,23 80-83 cfr. Jon. 2,1 ss.

Ἕνα τὸν Χριστὸν
κηρύξαντες, πατέρες,
ἕνα τὸν υἱὸν
ἐν δύο ταῖς οὐσίαις
ὡμολογήσατε, θέλοντα κατ' οὐσίαν
καὶ ἐνεργοῦντα τὰ ἀμφότερα.

θεοτ. * Χαίροις παρ' ἡμῶν,
ἁγία θεοτόκε,
χαῖρε, ἡ χαρὰν
κυήσασα τῷ κόσμῳ,
χαῖρε, ἡ μόνη ἀντίληψις τῶν ἀνθρώπων,
εὐλογημένη θεοτόκε ἁγνή.

ᾠδὴ ε'. *Ὀρθρίζοντες βοῶμέν σοι, κύριε, σῶσον ἡμᾶς*

f. 40 *|| Οὐκ ἔτεμέ σου, πάτερ, τὸ ξίφος τὴν παρρησίαν,
οὐδόλως ἐσάλευσεν
ἡ ἐξορία τὴν πίστιν σου.

* Κηρύττει μὲν ἡ Ῥώμη τὸν ζῆλόν σου, θεοφάντορ,
σαλπίζει δέ, ὅσιε,
ἡ ἐκκλησία τοὺς λόγους σου.

Πρὸ βήματος ἑστῶτες οἱ ἅγιοι θαρσαλέως,
Χριστὸν ἀνεκήρυττον
Θεὸν ἐν δύο θελήσεσιν.

θεοτ. * Παρθένον μετὰ τόκον ὑμνοῦμέν σε, θεοτόκε·
σὺ γὰρ τὸν Θεὸν Λόγον
σαρκὶ τῷ κόσμῳ ἐκύησας.

---

87 πατέρες] πανσόφως Cn 88 τὸν] τε Cn 90 ὁμολογήσαντα Cn 92-97 θεοτ. MR III, 351; AHG III, 138; V, 296; VII, 242 v. 97 καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν AHG V 97 post εὐλογημένη cetera om. Cn

heirm. ε' EE 226, n. 324, Germani 98 πάτερ om. Φ post τὴν delevi τὴ Wf v. 99 οὐκ ἔσβεσεν ὅσιε Wf Q Φ PG v. 101 Κηρύξας μὲν ἡρώδης τὸν ξύλον σου θεοφόρε Wf θεοφάντορ] θεοφόρε Q Φ PG pro vv. 104-109 alia troparia praebent Wf Q Φ, vide p. 156 105 ἀνεκήρυξαν Cn 106 Θεὸν] υἱὸν Cn 107-109 θεοτ. MR I, 183; AHG I, 66; III, 204.256; V, 296; VI, 414; VII, 251

ᾠδὴ ς'. *Ἐκ κοιλίας Ἅδου
κραυγῆς μου
ἤκουσας φωνῆς μου
καὶ ἐρρύσω ἐκ φθορᾶς
τὴν ζωήν μου ὡς φιλάνθρωπος.*

Οὐκ ἐσάλευσέ σου
τὸν πύργον
τῆς ὀρθοδοξίας
ὁ παμπόνηρος ἐχθρός,
οὐ τὸ πῦρ τῶν πειρασμῶν, ἀθλητά.

* Ἐθαυμάστωσέ σου,
τρισμάκαρ,
τὴν ὁμολογίαν,
θεοφόρε Μάξιμε,
Ἰησοῦς ὁ συναθλήσας σοι.

Ἐν μιᾷ ἐλπίδι,
πατέρες,
ὑπερηθληκότες
τῆς ἀμώμου πίστεως,
ὁμοδόξως συνεστέφθητε.

θεοτ. Ἐκ παρθένου μήτρας
ἀφράστως
προῆλθες, σωτήρ μου,
καὶ ἐρρύσω ἐκ φθορᾶς
τὴν ζωήν μου ὡς φιλάνθρωπος.

---

heirm. ς' EE 228, n. 326, Andreae et 229, n. 329, Andreae; heirm. integrum proferunt Σρ Wf Q heirm. 4 φθορᾶς] φορᾶς Σρ 5 ὡς φιλάνθρωπος] πολυέλεε Q EE 110-114 troparium deest in Φ v. 114 ἀλλ' ἡττήθη καὶ ἀπώλετο Wf Q 115 Ἐθαύμασέν σου Wf v. 118 ὁ ἐν σοὶ φθεγξάμενος Wf Q Φ PG pro vv. 120-129 alia troparia referunt Wf Q Φ, vide pp. 157-158 123 τῆς ἀμώμου] τῶν ἁγίων Cn

---

128-129 cfr. Ps. 102, 4

ᾠδὴ ζ'. Ὁ ἐν ἀρχῇ
τὴν γῆν θεμελιώσας

Τοὺς εὐσεβεῖς
ἐζήλωσας πατέρας
καὶ σὺν αὐτοῖς
κηρύττεις παρρησίᾳ
Χριστὸν ἐν δύο οὐσίαις, πάτερ,
ὡς θέλοντα δι' ἀμφοῖν
καὶ ἐνεργοῦντα διττῶς.

Ἀρχοντικὴν
ὑπέστης ἀδικίαν,
δικαστικῷ
παρέστης θρόνῳ, πάτερ,
καὶ ὑπὲρ μόνης τῆς ἀληθείας
χειρὸς καὶ γλώσσης ὁμοῦ
ἀπεστερήθης, σοφέ.

Ὡς ἀκλινεῖς
τῆς πίστεως ὁπλῖται
καὶ στερεοὶ
τῆς ἐκκλησίας στῦλοι,
σοφοὶ πατέρες καὶ θεοφόροι,
πρεσβεύσατε ἐκτενῶς
εἰς τὸ σωθῆναι ἡμᾶς.

θεοτ. * Ὁ ἐν γαστρὶ
τῆς παρθένου οἰκήσας
καὶ ἐν αὐτῇ
τὸν Ἀδὰμ ἀναπλάσας,
εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας,
κύριε, ὁ Θεὸς
τῶν πατέρων ἡμῶν.

---

heirm. ζ' EE 226, n. 323, Germani 130-157 troparia odes ζ' aliis substituunt Wf Q et Φ (praeter vv. 130-136), vide pp. 158-160 132 καὶ σὺν] ἅμα Φ 133 κηρύξας Φ 135 post ὡς add. καὶ Φ δι' om. Φ 140 πάτερ θρόνῳ Cn 151-157 θεοτ. MR V, 116; AHG III, 141.205.257; V, 218. 307; VI, 381; VII, 184.245.253; IX, 254 vv. 155-157 varie detruncant Cn Σρ

146-147 cfr. I Tim. 3,15; Apoc. 3,12

ᾠδὴ η'. Τὸν ἐν ὄρει
ἁγίῳ δοξασθέντα

Εἰ καὶ ξίφει
τὴν χεῖρα ἀπετμήθης,
ἀλλὰ κράζει
τὸ αἷμά σου, τρισμάκαρ,
καὶ δι' ἐνάρθρου γλώττης νῦν τὸ στόμα σου
διὰ τῶν βιβλίων·
ἱερολογεῖς γὰρ
Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἐν ἁγνείᾳ
λεπτύναντες τὸ σῶμα,
εὐσεβείᾳ
κρατύναντες τὸ πνεῦμα,
τὴν ἱερὰν ψυχὴν ἀνεπτερώσατε,
ὅσιοι πατέρες,
πρὸς τὴν ὑψηλὴν γῆν
τῶν θείων νοημάτων.

f. 40v ‖ Ὡς ἐργάται
τοῦ θείου ἀμπελῶνος
τῆς ἡμέρας
τὸν καύσωνα, πατέρες,
δι' ἀρετῆς καὶ πόνου καρτερήσαντες,
ἐν τοῖς οὐρανοῖς
τῶν ἡτοιμασμένων
γερῶν κατατρυφᾶτε.

θεοτ. * Τὸν ἐν μήτρᾳ
οἰκήσαντα παρθένου
καὶ ἐκ ταύτης
φρικτῶς καὶ ὑπὲρ λόγον
τὸν παλαιὸν Ἀδὰμ ἀναπλάσαντα

---

heirm. η' EE 226, n. 323, Germani 158-189 troparia odes η' aliis substituunt Wf Q Φ, vide pp. 160-161 158-165 troparium deest in Cn 159 χεῖραν cd.: cfr. PSALTES, 153-154; MITSAKIS, 25 vv. 171.179 κύριον ὑμνεῖτε Cn, qui cetera om. 182-189 θεοτ. MR I, 34; AHG I, 70.85 et alibi; cfr. in hoc volumine canonem XXVI, 133-140 et app. crit.

κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

ᾠδὴ θ'. *Τὸν προδηλωθέντα ἐν ὄρει τῷ νομοθέτῃ*

Σὺ τὸν Φινεὲς ἐκμιμούμενος, θεοφόρε,
ἄλλῳ σειρομάστῃ
ἐν τῇ μαχαίρᾳ τοῦ λόγου
τὴν νεόφυτον ἀποτέμνεις θρησκείαν
ἀποβουκολῶν τοὺς ἀθετοῦντας Χριστόν.

Τρεῖς οἱ τῆς τριάδος θερμοὶ ὀφθέντες λαμπτῆρες,
μίαν ἐν ψυχῇ νοητῶς
θησαυρίσαντες πίστιν,
ὁμοφρόνως τῆς εὐσεβείας τὸ δόγμα
ἀποστολικῶς καθωμολόγησαν.

* Ὄντως ἐδοξάσθητε, θεοφόροι πατέρες,
αἰκισμοῖς καὶ μάστιξι,
διωγμοῖς καὶ κινδύνοις
ἐμπαιγμοῖς τε καὶ φυλακαῖς καὶ σιδήροις
καὶ ὑπερορίαις ἐναθλήσαντες.

θεοτ. * Σὺ εἶ, θεοτόκε, τὰ ὅπλα ἡμῶν καὶ τεῖχος,
σὺ εἶ ἡ ἀντίληψις
τῶν εἰς σὲ προστρεχόντων,
σὲ καὶ νῦν εἰς πρεσβείαν κινοῦμεν,
ἵνα λυτρωθῶμεν τῶν ἐχθρῶν ἡμῶν.

---

vv. 188-189 intermittunt Σρ Cn

heirm. θ' EE 226, n. 324, Germani 190-209 troparia odes θ' aliis substituunt Wf Q et Φ (praeter vv. 190-194), vide pp. 161-162 190 ἐκμιμούμενος] μιμούμενος Cn 191 ἄλλη Cn ἄλλον Φ σειρομάστην Φ 194 ἀθετοῦντας] βλασφημοῦντας Φ 195 θερμοὶ] ὁμοῦ Cn 203 ἐμπυγμοῖς Σρ ἐν δεσμοῖς PG 205-209 θεοτ. MR II, 270; AHG III, 71.145.174; V, 235.301; VI, 382; VII, 186.246.255; IX, 279; cfr. etiam in hoc volumine canonem XXVI, 156-160 206 post ἀντίληψις cetera om. Cn

---

190-193 Num. 25,7-9

IN S. MAXIMUM CONFESSOREM ET DISCIPULOS

Vat. gr. 2292	= Wf,	ff. 72-78ᵛ
Paris. gr. 13	= Q,	ff. 364ᵛ-365ᵛ
Meteor. Metamorph. 150	= Φ,	ad diem
Sinait. gr. 631	= Σρ,	ff. 39-40ᵛ
Crypt. Δ.α. XXIII	= Cn,	ff. 186-187ᵛ

Canon secundum traditionem Vat. gr. 2292 = Wf, ff. 72-78ᵛ

Ὁ κανών· ⟨Ἀνδρέου.⟩

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Τὸν Ἰσραὴλ ἐκ δουλείας*

* Τῆς ἀνωτάτω σοφίας
.... = Σρ 1-5

* Ἀγγελικὴν ἐπεδείξω
διαγωγὴν ἐν γῇ κατοικῶν
καὶ γέγονας ταμεῖον Θεοῦ,
χριστοκῆρυξ ὅσιε·
διὸ καὶ ἀνεκράθης αὐτῷ.

* Αἱρετικῶν γλωσσαλγίας
τῇ φλογοφόρῳ γλώσσῃ σου
κατέφλεξας, μακάριε,
τὸν σωτῆρα ἕνα Θεὸν
κηρύξας ἐν δυάδι μορφῶν.

---

troparia asteriscis signata (praeter τριαδ. odes η') ed. in PG 90, 205-213
tit. tantum ὁ κανὼν Wf, qui nomen auctoris silet

heirm. α' EE 226, n: 324, Germani 1 ἀνωτάτου Wf Φ PG 6 ἀπεδείξω PG 11-15 troparium om. Φ 12 φλογιφόρῳ PG γλώσσα Wf 14 Θεὸν] υἱὸν Q PG

Ὁμοφρονοῦντες ἀλλήλοις
ἐν τῇ μιᾷ σου πίστει, Χριστέ,
οἱ ὅσιοι, ἐκήρυττόν σε
ἐν ἀγλώσσοις στόμασιν
ὡς σάλπιγγες θεόφθογγοι.

Τίς κατ' ἀξίαν ὑμνήσει
f. 72v τοὺς ἱεροὺς || ἀγῶνας ὑμῶν,
τίς μὴ δακρύσει, ὅσιοι,
τὰς ἐπενεχθείσας ὑμῶν
βασάνους ὑπὲρ μόνου Χριστοῦ;

τριαδ. Χερουβικῶς δοξολογοῦντες
τὸν ἐν τριάδι ἕνα Θεόν,
πατέρα προσκυνήσωμεν,
τὸν υἱὸν δοξάσωμεν,
τὸ πνεῦμα ἀνυμνήσωμεν.

θεοτ. * Χαῖρε, ἁγνὴ θεοτόκε,
ἡ τὸν προόντα Λόγον Θεοῦ
τεκοῦσα ἐπ' ἐσχάτων σαρκί,
χαῖρε, τεῖχος πάντων ἡμῶν
καὶ σκέπη τῶν τιμώντων σε.

ᾠδὴ γ'. *Οὐκ ἔστιν ἅγιος*
ὡς ὁ κύριος

36-42 * Τὰ αἵματα στάζουσι
.... = Σρ 60-66

* Ἡ χείρ σου τοῖς γράμμασιν
f. 73 οὐκ ἐπαύ||σατο βοᾶν
καὶ ἡ γλῶσσα τοῖς δόγμασι

16-25 troparia desunt in Q Φ   17 μία Wf   ante vv. 26. 71. 115. 145. 176. 214. 252. 283 signum τριαδ. om. Wf   26-30 τριαδ. desideratur in Q   26 Χερουβικὴν Wf   δοξολογοῦντες] θεολογοῦντες Φ   29 δοξάζομεν Wf   30 τὸ πνεῦμα] καὶ τὸν πατέρα Wf   ante vv. 31. 78. 121. 148. 181. 221. 260. 288 signum θεοτ. om. Wf   32 θεὸν Φ
heirm. γ' EE 226, n. 323, Germani   44 βοᾶν] ἐκβοᾶν Wf

σαλπίζει τὴν πίστιν σου,
θεορρῆμον τρισμάκαρ·
Θεὸς γὰρ ἦν ἑκάτερα
κινῶν καὶ συμβιβάζων λαλεῖν.

Οὐ τῦφος ἀρχόντων σε
παρεσάλευσε ποτέ,
οὐ θυμὸς ἱεράρχου,
οὐ δήμων ἐπίβασις,
οὐ στρατὸς ἀπειλῶν σοι,
ἀλλ' ἕστηκας, στερρότατε,
ὡς ἄκμων τις ἀνήλατος.

Τρισὶ μὲν τοῖς σώμασιν,
ἐν μιᾷ δὲ τῇ ψυχῇ
ὁμοφρόνως ἀντέστητε,
πατέρες θεσπέσιοι,
τοῖς κακῶς συναιροῦσι
Χριστοῦ τὰ παθήματα
καὶ τὴν διπλῆν ἐνέργειαν.

* Ἐκ γῆς τὸ πολίτευμα
νοητῶς εἰς οὐρανοὺς
μεταλλάξαντες, ὅσιοι,
ἐκεῖ αὐλιζόμενοι
ἐν τῷ φωτὶ τῷ αἰωνίῳ·
διὸ καὶ οὐράνιον
τὸ στέφος ἐκομίσασθε.

τριαδ. Τριὰς ὁμοούσιε,
τρισυπόστατε μονάς,
f. 73v || ἡ ἀσώματος φύσις,
ἡ ἄκτιστος δύναμις,
ἡ ἀμέριστος δόξα,

49 λαλεῖν] λαλὰ PG   50-63 troparia om. Φ   50 τῦφος] στίφος Q   55 στερρότατος Q   56 ὡς ἄγμων ἀνάλωτος Wf   59 ὁμοφρόνως om. Wf   64-70 troparium deest in Q Φ   66 καταλλάξαντες PG   67 αὐλιζόμενοι pro αὐλίζεσθε metri causa: cfr. MITSAKIS, 160-161   68 post ἐν om. τῷ PG   τῷ αἰωνίῳ] αἰωνίῳ PG   70 ἐκομίσατε PG   71-77 τριαδ., quod desideratur in Q; cfr. in AHG V, 420   72 ante τρισυπόστατε add. καὶ Φ

τῷ κόσμῳ σου δώρησαι
πταισμάτων τὴν συγχώρησιν.

θεοτ. * Γυναῖκες μὲν τίκτουσι,
μητροπάρθενε ἁγνή,
ἀλλ' οὐκέτι παρθένοι
ὡς σὺ διαμένουσιν·
οὐδεμία γὰρ τούτων
Θεὸν ἀπεκύησεν
εἰ μὴ σύ, θεοτόκε ἁγνή.

Κάθισμα.

Ἦχος γ'. *Θείας πίστεως*

Δόγμα ἔνθεον
ἐπικρατύνων
....

ᾠδὴ δ'. *Ἐξ ὄρους κατασκίου*

* Σὺ τὸν Μωυσῆ
μιμούμενος, θεόφρον,
f. 74 || πλάκας νοερὰς
ἐδέξω τῶν δογμάτων·
ἐν γὰρ τῷ γνόφῳ εἰσέδυς τῶν νοημάτων
καταπλουτήσας τὸ τῆς γνώσεως φῶς.

* Σὺ τὸν Ἀβραὰμ
ζηλώσας, θεοφόρε,
ἄλλον Ἰσαὰκ
προσῆξας τῷ κυρίῳ,

---

84 ἁγνὴ] σεμνὴ Φ PG
κάθ., quod ante canonem Σρ (f. 37) et Cn (f. 185v) tradunt, ed. in PG 90, 209; hoc diversum Q Φ praebent Διωγμοὺς ὑπομείνας MR III, 318
heirm. δ' EE 224, n. 321, Joannis 85 μωυσῆν Wf Φ PG 89 γὰρ om. Φ 90 καταπλουτίσας Wf Φ κατεπλούτησας PG

85-90 Ex.31,18 91-96 Gen. 22,1-10

τὴν σεαυτοῦ θυσιάσας, πάτερ, καρδίαν
ἐν τῷ πυρὶ τῆς συνειδήσεως.

Σὺ τὸν Ἰακὼβ
μιμούμενος, θεόφρον,
κλίμακι Θεοῦ
ἐπέβης πρὸς τὰ ὕψη
τῆς θεωρίας τῶν θείων ἀπηχημάτων,
δι' ὧν τὰ θεῖα ἐμυήθης, σοφέ.

* Τούτους ἡ τριὰς
ἐδόξασεν ἀξίως,
τούτους ὁ Θεὸς
συνήρμοσε τῇ πίστει
ὁμοφρονοῦντας ἀλλήλοις τῇ εὐσεβείᾳ
τῆς ἀπλανοῦς ὁμολογίας ἡμῶν.

f. 74v || Δεῦτε, ἀκλινεῖς
τῆς πίστεως ὁπλῖται,
δεῦτε, στερροὶ
θεμέλιοι τοῦ Λόγου,
τῆς βασιλείας ἠνοίγησαν ὑμῖν πύλαι
καὶ αἱ σκηναὶ τῶν ἐκλεκτῶν τοῦ Θεοῦ.

τριαδ. Ἄναρχον, πιστοί,
δοξάσωμεν τριάδα,
ἄκτιστον αὐτὴν
ὑμνοῦντες ὡς μονάδα·
ἓν γὰρ τὰ τρία τῇ φύσει καὶ τῇ οὐσίᾳ
καὶ τὸ ἓν τρία τοῖς προσώποις ἐστίν.

θεοτ. * Ἄχρονον υἱὸν
ἐγέννησας ἐν χρόνῳ,
ἄφθορος, ἁγνὴ

---

95 πάτερ om. Φ 97-108 troparia desunt in Φ 107 ὁμολογοῦντας Wf PG 108 ὑμῶν Q 109-114 tropario carent Q Φ 113 ἠνοίγησαν ed.: cfr. MITSAKIS, 54b 115-120 τριαδ. om. Q 120 τρία om. Wf 123 ἄφθαρτος PG

97-102 Gen. 28,12 ss. 111-112 cfr. II Tim. 2,19

διέμεινας τεκοῦσα
τὸν δι' ἡμᾶς σαρκωθέντα ἐν τῇ γαστρί σου,
θεογεννῆτορ ἀειπάρθενε.

ᾠδὴ ε'. *Ὀρθρίζοντες βοῶμέν σοι, κύριε, σῶσον ἡμᾶς*

* Οὐκ ἔτεμέ σου, πάτερ, τὸ ξίφος τὴν παρρησίαν,
f. 75 .... = Σρ 98-100

* Κηρύττει μὲν ἡ Ῥώμη τὸν ζῆλόν σου, θεοφόρε,
.... = Σρ 101-103

* Τὴν πίστιν σου ἀσάλευτον ἔστερξας ἐν καρδίᾳ
καὶ νοῦν ἀνεπτέρωσας
πρὸς οὐρανόν, μεγαλώνυμε.

Ἡ τρίφωτος λυχνία τῆς πίστεως ἐξαφθεῖσα,
φωτίζει τὰ πέρατα
τῇ ἐπιγνώσει τῆς χάριτος.

Ἐνώπιον ἀρχόντων κηρύξαντες τὸν σωτῆρα,
μάρτυρες γεγόνατε
τῇ προαιρέσει, θεόσοφοι.

Τιμᾷ ὑμῶν τὰ λείψανα πᾶσα πόλις,
ἐν ᾗ ἐκηρύξατε
τῆς εὐσεβείας τὰ δόγματα.

τριαδ. Τριάδα ἐν μονάδι δοξάσωμεν ὀρθοδόξως
ἐν πίστει κραυγάζοντες·
« ἅγιος, ἅγιος, ἅγιος ».

f. 75v θεοτ. * ‖ Πηγὴν ἀθανασίας ὑμνοῦμέν σε, θεοτόκε·
σὺ γὰρ τὴν ἀέναον
ζωὴν τῷ κόσμῳ ἐπήγασας.

heirm. ε' EE 226, n. 324, Germani 127 πάτερ om. Φ post τὴν delevi τὴ Wf 130 Κηρύξας μὲν ἡρώδης τὸν ξύλον σου θεοφόρε Wf θεοφόρε] θεοφάντορ Σρ Cn 133-135 troparium om. Q Φ 133 Τὴν πίστοι Wf 136-138 tropario caret Φ 139-144 troparia desunt in Q Φ 145-147 τριαδ. desideratur in Q 150 ἐπήγασας] ἐκύησας Q

ᾠδὴ ς'. *Ἐκ κοιλίας Ἅδου
κραυγῆς μου*

* Ἐθαυμάστωσέ σου,
.... = Σρ 115-119

* Οὐκ ἀρχόντων τῦφον,
οὐ ξίφος,
οὐ πῦρ ἀπειλοῦν σοι
κατεπλάγης, ὅσιε·
τῇ γὰρ πίστει ᾗσθα πάγιος.

Οὐκ ἐσάλευσέ σου
.... = Σρ 110-114

f. 76 ‖ Τῇ τριπλόκῳ ταύτῃ
σφενδόνῃ
ἀπειλὴν Ἀρείου
νοητῶς τοξεύετε
προσβολαῖς τῶν μυστηρίων Χριστοῦ.

* Μετὰ βίου τέλος,
πατέρες,
θαύματα τελεῖτε,
ἐναργεῖς παρέχοντες
ἀποδείξεις τῶν δογμάτων ὑμῶν.

τριαδ. Ἐν τρισὶ προσώποις
ὑμνῶ σε
τὴν ἄκτιστον φύσιν,
ὦ τριὰς ἀμέριστε
καὶ μονὰς ἀπερινόητε.

heirm. ς' EE 228, n. 326, Andreae; heirm. integrum proferunt Wf Q Σρ, vide p. 147 151 Ἐθαύμασέν σου Wf 156 τύφος Wf Q Φ 158 ἀπειλῶν Wf Φ σου Wf 160 ἤθα Wf οἶσθα Q 161-170 troparia om. Φ 168 ἀπειλὴ Q 169 τοξεύεται Q 170 προσβολαῖς] ταῖς βολαῖς Q 171-175 tropario carent Q Φ 171 βίου om. Wf 174 ἐνεργεῖς Wf PG 175 ἀποδήξας Wf δογμάτων] θαυμάτων PG 176-180 τριαδ. deest in Q 180 ἀπερινόητος Wf

θεοτ. * Ὑπὲρ νοῦν καὶ λόγον,
παρθένε,
τὸν τροφέα πάντων
ἐκ μαζῶν θηλάζουσα,
τὰ μητέρων οὐχ ὑφίστασαι.

ᾠδὴ ζ'. Ὁ ἐν ἀρχῇ
τὴν γῆν θεμελιώσας

* Σὺ τὴν στολὴν
τῆς φυσικῆς ἀξίας
αἵματι σῷ
κατέστιξας, θεόφρον,

---

184 θηλάσασα Q
post oden ς' sequens κοντάκ. et οἶκ. Q refert:
Κοντάκιον.
Ἦχος β'. *Τὰ ἄνω ζητῶν*
Δογμάτων Χριστοῦ
ἐνθέως προϊστάμενος,
τυράννου θυμὸν
οὐκ ἔπτηξας, μακάριε,
ἀλλ' ὑπὲρ τῆς πίστεως
τὴν γλῶτταν καὶ τὴν χεῖρα ἐκτέτμησαι
καὶ λαοὺς πρὸς πίστιν ἐστήριξας
πρεσβεύων ἀπαύστως
ὑπὲρ πάντων ἡμῶν.
Ὁ οἶκος.
Στήλη ἐγένου ὀρθοδοξίας
τοὺς ὁσίους σου λόγους
ἐν καρδίαις πιστῶν
καταφυτεύσας, μακάριε,
γράφων ἐν πάσῃ πόλει καὶ χώρᾳ,
ὥσπερ Παῦλος ὁ κῆρυξ τῆς οἰκουμένης,
οὕτως αὐτὸς καταγγέλλων τὸν λόγον τῆς χάριτος,
τυράννους τοὺς κατεσθίειν
τὸν κυρίου λαὸν ἐγχειρίσαντας,
τοὺς τῶν αἱρέσεων προύχοντας,
δι' ἐκτροπὴν (δι'ἐκτρέπειν cd.) ἐλέγχειν οὐκ ἔλιπες
πρεσβεύων ἀπαύστως
<ὑπὲρ πάντων ἡμῶν>.
heirm ζ' EE 226, n. 323, Germani 189 κατέμιξας Wf κατέτιξας Φ

σιγῶσαν, πάτερ, καὶ φθεγγομένην
ἀπόδειξιν παρασχὼν
ταύτην τοῖς λόγοις σου.

f. 76v || Τάφος ὑμῶν
οὐκ ἔπαυσε τὰς γλῶσσας,
γῆ δὲ μακρὰ
οὐκ ἔκρυψε τοὺς λόγους,
ἀλλ' ὥσπερ γράφει Δαβὶδ ἐν ὕμνοις,
εἰς πᾶσαν ὄντως τὴν γῆν
διεφημίσθητε.

* Ὥσπερ χρυσὸς
οἱ τρεῖς δοκιμασθέντες
ἐν τῷ πυρὶ
τῶν πειρασμῶν ἐκείνων,
καθαρωτέραν τὴν πίστιν ὑμῶν
προσήξατε τῷ Χριστῷ,
πατέρες τίμιοι.

* « Δεῦτε λοιπόν,
πατέρες θεοφόροι, »
κράζει Χριστὸς
« τοὺς πόνους τῶν καμάτων
ἀπολαβόντες καὶ τὰ βραβεῖα,
αὐλίζεσθε ἐν χαρᾷ
εἰς αἰωνίους σκηνάς ».

τριαδ. Φῶς σε ὑμνῶ
τὸν ἄναρχον πατέρα,
φῶς δὲ τιμῶ
τὸν ἄχρονον υἱόν σου,

---

190 σιγῶσα Wf 193-199 pro hoc aliud troparium profert Φ Τοὺς εὐσεβεῖς, vide p. 148 200-213 troparia desunt in Φ 205 τῷ om. Wf 211 ἀπολαυγόντες Wf 212 αὐλίζεσθαι Wf PG 214-220 τριαδ. desideratur in Q 214 ὑμνῶν Wf 215 τῶν πατέρα τὸν ἄναρχον Wf 216 τιμῶ] ὑμνῶ Wf 217 ἄχρονον] ἄναρχον Φ

197-199 cfr. Ps. 18,5 200-203 cfr. Prov. 17,3; 27,21; Sir. 2,5 213 Luc. 16,9

φῶς καὶ τὸ πνεῦμα τὸ ἐν τριάδι
f. 77 δο‖ξάζω· εἷς γὰρ Θεὸς
ὁ ἐν προσώποις τρισίν.

θεοτ. * Ὁ μυστικὴν
εἰκόνα τῆς παρθένου
τὴν ἐν Σινᾷ
σὺ προτυπώσας βάτον
τὴν καιομένην, οὐ φλεγομένην,
εὐλογητὸς εἶ, Χριστέ,
ὁ τῶν πατέρων Θεός.

ᾠδὴ η΄. *Τὸν ἐν ὄρει*
ἁγίῳ δοξασθέντα

* Τὴν ἀκτῖνα
τῆς θείας δᾳδουχίας
ἐν καρδίᾳ
δεξάμενος, θεόφρον,
τὸν φωτισμὸν τῆς γνώσεως ἐπλούτησας
καὶ τὸν τῆς σοφίας
θησαυρὸν ἀπέθου
ἐν τῇ ψυχῇ σου, πάτερ.

Τῶν δογμάτων
προέστης, θεομάκαρ,
τὰς αἱρέσεις
ἐδίωξας ἐκ μέσου
καὶ τοῦ Χριστοῦ ζηλώσας τὰ παθήματα,
γέγονας θυσία
καθαρά, δεκτὴ
τῷ Θεῷ τῇ προαιρέσει.

---

225 post τὴν add. καὶ Wf οὐ φλεγομένην om. Wf οὐ] μὴ Q
226-227 vv. excidit Wf 227 Θεὸς om. PG
heirm. η΄ EE 226, n. 323, Germani 232 ἐπλούτισας Wf

221-225 Ex. 3,2 241-243 cfr. I Petr. ep. 2,5

* Τὸν χιτῶνα
τὸν τῆς ἀσκήσεώς σου
μαρτυρίου
κατέστησας εἰκόνα
f. 77v καὶ ‖ ἱεροῖς σου τοῦτον κατεποίκιλας
ἄθλοις, θεοφόρε,
αἵμασι φοινίξας
τοῖς ὑπὲρ ἀληθείας.

τριαδ. * Προσκυνῶ σε
τὸν ἄναρχον πατέρα
καὶ δοξάζω
τὸν ἄχρονον υἱόν σου
καὶ ἀνυμνῶ τὸ πνεῦμά σου τὸ ἅγιον,
ἄναρχον οὐσίαν
ἐν τρισὶ προσώποις
ἀεὶ θεωρουμένην.

θεοτ. * Χαῖρε, πύλη
καὶ ἔμψυχε νεφέλη,
χαῖρε, ὄρος
καὶ βάτε καὶ λυχνία,
χαῖρε, ναὲ καὶ θρόνε καὶ παράδεισε,
χαῖρε, ἡ τεκοῦσα
τὸν δημιουργὸν
τοῦ παντός, εὐλογημένη.

ᾠδὴ θ΄. *Τὸν προδηλωθέντα ἐν ὄρει τῷ νομοθέτῃ*

* Σὺ δι᾽ ἀπαθείας καὶ θεωρίας, τρισμάκαρ,
ἐκδιδάξας λόγους
ἡμᾶς ζωῆς τῆς αἰωνίου,

244-251 tropario caret Φ 247 post εἰκόνα add. σου Wf 248 τούτους Wf 249 ἄθλους Wf 252-259 τριαδ., ed. in AHG IX, 278, om. Q 257 ἄναρχον] ἄναρ Wf ἄκτιστον AHG 259 θεωρουμένοι Wf γνωριζομένην AHG 263 βάτος Wf Q Φ PG
heirm. θ΄ EE 226, n. 324, Germani 268 Σὺ] Εὖ PG 269 ἐδίδαξας PG

---

260 Ez. 44,1-2 261 Is. 19,1 262 Dan. 2,34.45; Ps. 67,16
263 Ex. 3,2 Ex. 25,31; Zach. 4,2 264 Dan. 7,9 Gen. 2,8

στήλην ἔμπνουν ὀρθοδοξίας τῷ κόσμῳ
f. 78 τὴν ὁ||μολογίαν σου κατέλιπες.

Σὺ τῆς ἀκενώτου πηγῆς ἀντλήσας τὰ ῥεῖθρα,
ποταμοὺς δογμάτων
τῇ ἐκκλησίᾳ προχέεις,
ἐξ ὧν ἅπαντες οἱ διψῶντες ἀντλοῦμεν
τῆς ὀρθοδοξίας τὰς ἀφθόνους πηγάς.

* Ὅσιοι πατέρες ἡμῶν, οἱ ζήλῳ καὶ πόθῳ
τὸν τοῦ μαρτυρίου
συνδιανύσαντες δρόμον,
ἱκετεύσατε τὸν Θεὸν καὶ δεσπότην
πάσης πλάνης ῥύσασθαι τοὺς δούλους ὑμῶν.

τριαδ. Ὦ τριὰς ἁγία, μονὰς ἡ μία θεότης,
τρισυπόστατε, σύνθρονε
καὶ ὁμότιμε δόξῃ,
ὁμοούσιε καὶ συνάναρχε φύσει,
σῶζε τοὺς πιστῶς θεολογοῦντάς σε.

θεοτ. * Βάτον καιομένην πυρὶ καὶ μὴ φλεγομένην
προεώρα πάλαι
f. 78v Μωσῆς, || θεομῆτορ παρθένε,
τὴν θεόδεκτον προτυποῦσαν γαστέρα
ὑποδεχομένην τὸ ἀκήρατον πῦρ.

---

272 καταλείψας PG 273-277 troparium ut tertium refert Φ, qui autem ut secundum aliud tradit Σὺ τὸν Φινεὲς ἐκμιμούμενος, θεοφόρε, vide p. 150 278-282 troparium ut sextum servat Φ; pro hoc Q et ut quintum Φ sequens troparium referunt:

Ὦ (Ὦ om. Q) τίς (littera τ iterata in Q) διηγήσεται τοὺς ἀγῶνας ἐκείνους,
τίς τοὺς διωγμοὺς ὑμῶν
τοὺς ἐκ τόπων εἰς τόπους
ἀναγράψοιτο, θεοφόροι πατέρες,
ἢ τὰς ἐκτομὰς τῶν ἀναγκαίων μελῶν;

280 συνδιανύσαντας Wf 282 ὑμῶν] σου Wf Φ ut quartum hoc troparium in Φ legitur:

Ἔπιες ποτήριον σωτηρίου, τρισμάκαρ,
κεραθὲν δι' αἵματος
καὶ χρηστότητος ὄντως,
ὃ ἡτοίμασται εἰς μαρτύριον, πάτερ,
τῆς θεοπρεποῦς σου συνειδήσεως.

283-287 τριαδ. deest in Q 288-292 θεοτ. cfr. in AHG V, 430 290 θεογεννῆτορ κόρη AHG 291 τὴν] τὸν Φ προτυποῦσαν] προτυπῶν σου Wf Q Φ AHG

288-290 Ex. 3,2

16 AUG. *CANON* XIII

IN TRANSLATIONEM AD URBEM CONSTANTINOPOLITANAM IMAGINIS EDESSENAE

Synaxarium, 893-901: Ἡ ἀνάμνησις τῆς εἰσόδου τῆς ἀχειροποιήτου μορφῆς τοῦ κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐκ τῆς Ἐδεσηνῶν πόλεως εἰς ταύτην τὴν θεοφύλακτον καὶ βασιλίδα πόλιν ἀνακομισθείσης ...

Mess. gr. 136	= Mf, ff. 293v-298
Paris. gr. 13	= Q, ff. 370-371v
Paris. gr. 1568	= Pc, ff. 118v-124v

Ὁ κανὼν τοῦ ἁγίου Μανδηλίου, οὗ ἡ ἀκροστιχίς·
Ἀγαλλιᾶσθε πάντες εὐσεβόφρονες.

Ἦχος δ'.

ᾠδὴ α'. *Ἀνοίξω τὸ στόμα μου*

Ἀγάλλεσθε σήμερον
οἱ οὐρανοὶ τῇ λαμπρότητι,
τὰ ὄρη σκιρτήσατε,
βουνοὶ κροτήσατε,
οἱ θεόφρονες
ἐν πίστει προσκυνεῖτε

---

tit. tantum Ὁ κανὼν Mf, qui acrostichidem in rubrica silet Εἰς τὸν ὄρθρον ... κανὼν τοῦ ἁγίου μανδηλίου οὗ ἡ ἀκροστιχίς ... Q Εἰς τὸν ὄρθρον ... ὁ κανὼν τοῦ ἁγίου μανδηλίου οὗ ἡ ἀκροστιχίς· ἀγαλλιᾶσθε πάντες εὐσεβοφρόνως Pc
heirm. α' EE 99, n. 141, Joannis in margine et iuxta designationem heirm. ἰωάννου μοναχοῦ legitur in Q v. 4 γῆ τε καὶ θάλασσα Pc

---

3 Ps. 113,4

Χριστοῦ τὴν ἐμφέρειαν
τὴν τοῦ προσλήμματος.

Γραφῆς ὡς ὑπέρτερος,
ὡς καὶ εἰκὼν ἀπαράλλακτος
Θεοῦ, ἀπαράλλακτον
εἰκόνα ἔδειξεν
ἧς προσείληφε
σαρκός, ἐν ὁμοιώσει
ἀνθρώπων γενόμενος
ὁ ὑπερούσιος.

f. 294 || Ἀνύμφευτε, χόρευε·
ὡς γὰρ ἀσπόρως γεγέννηται
ἐκ σοῦ ὁ ὑπέρθεος,
οὕτως ἐκτύπωμα
ἀχειρότευκτον
εἰργάσατο, πληρώσας
τῆς θείας αἰνέσεως
αὐτοῦ τὰ σύμπαντα.

Λελάληκε δύναμιν
τοῦ μυστηρίου τρανότατα
Δαβίδ· « ὁ ἐρχόμενος
Θεὸς καὶ κύριος
καὶ ἐπέφανεν
ἡμῖν » ἀνακραυγάζων·
« ἑορτὴν συστήσασθε
χαρᾶς παγκόσμιον ».

ᾠδὴ γʹ. *Τοὺς σοὺς ὑμνολόγους, θεοτόκε,*

Λαγόνων ἐντὸς τὴν βασιλίδα
τῶν πόλεων βλέπων ὁ Δαβὶδ

23 αἰνέσεως] ἑνώσεως Mf 25 δύναμις Pc 28 θεὸς ex χριστὸς supra lineam emendatum in Pc καὶ om. Pc
heirm. γʹ EE 100, n. 141, Joannis 33 τῆς βασιλίδος Mf

10-11 II Cor. 4,4; Col. 1,15 13-16 cfr. Philip. 2,7; Rom. 1,23 22-24 cfr. Hab. 3,3 27-31 Ps. 117,26-27

τὸν τύπον τὸν ἀνέκφραστον
εἰσδεξαμένην ἔλεγε·
« πᾶσα ἡ δόξα ἔσωθεν
τῆς θυγατρὸς τοῦ βασιλέως ἐστίν ».

Ἰσχύι ἀνέκραζεν ὁ ψάλλων
τῇ νέᾳ Σιὼν ἀνακινῶν
τὴν λύραν τὴν τοῦ πνεύματος·
« δεδοξασμένα, ἄφραστα
τὰ περὶ σοῦ λελάληται,
f. 294v || μητρὸς ἡ πόλις τοῦ Θεοῦ ἡμῶν ».

Αἴγυπτος ὡς πάλαι σε κατεῖχεν
ἡ Ἔδεσσα, Λόγε τοῦ Θεοῦ·
διὸ πατὴρ καὶ αὖθίς σε
ἐπανελθεῖν ἐκάλεσεν,
ὡς εἰς πατρίδα ἄλλην σου,
τὴν πόλιν ταύτην τῆς τεκούσης σε.

ᾠδὴ δʹ. *Τὴν ἀνεξιχνίαστον θείαν βουλὴν*

Σκιρτῶν ἀναβόησον, Λόγου φωνή·
« πάλιν τὴν ὁδὸν ἑτοιμάσατε
τὴν τοῦ κυρίου »,
ὅτι ἦλθεν ὡς ποσὶ
διὰ μορφῆς προσλήμματος
τρίβους ἐν ψυχαῖς ἀπεργάσασθαι.

Θραύεσθε ἀσύνετα ἔθνη τῆς γῆς
θέλοντα πολέμους καὶ σύνετε,
ὅτι ἐπέστη
ἐν ἡμῖν, ἀλλὰ καὶ ἦν

39 ἀνέκραζεν] ἀνεκραύγαζεν Pc 46 Λόγε] γόνε Q Pc 50 τοῖς τεκοῦσισε Q
heirm. δʹ EE 100, n. 141, Joannis

37-38 Ps. 44,14 42-44 Ps. 86,3 52-53 Is. 40,3; Matth. 3,3; Marc. 1,3; Luc. 3,4 57-58 cfr. Ps. 93,8

καὶ ἔσται ἀδιάστατος
ὁ Θεός, μηκέτι φρυάττεσθε.

Εἰπὲ τίς οὗτός ἐστιν ὁ ἐξ Ἐδώμ,
ὁ ἐκ τῆς Ἐδέσσης, ἐρχόμενος
ὡραῖος κάλλει,
ὦ προφῆτα τοῦ Θεοῦ·
f. 295 || Θεός ἐστι καὶ ἄνθρωπος
ἐξ ἁγνῆς ὁ φύσει φιλάνθρωπος.

Πᾶσαν ὡς ἐνέκρωσας πλάνην ἐχθροῦ,
μέλλων ἀνελθεῖν ἀπαράλλακτον
ἔθου μορφήν σου,
ὅπως νέκρωσιν ἀεὶ
ταύτην ὁρῶν, ἀθάνατε,
φέρῃ, ὡς ἐν σοὶ θανατούμενος.

ᾠδὴ ε΄. *Ἐξέστη τὰ σύμπαντα*

Ἀνέβης τυπούμενος
εἰς ὕψος, ᾐχμαλώτευσας
αἰχμαλωτισθέντας, ἔλαβες δὲ
δόματα, σῶτερ, ἐν ἀπειθοῦσι λαοῖς
τοῦ κατασκηνῶσαι ἐν αὐτοῖς
ὥσπερ καὶ εἰς Ἔδεσσαν
ἀνυμνεῖν σε, φιλάνθρωπε.

Νῦν ἄγγελοι χαίροντες
καὶ σήμερον κραυγάζουσιν·
« ἄρατε τὰς πύλας ἐκκλησίαι,
δέξασθε εἶδος τὸ ἀχειρόγραφον
οὐσίας ἐγγράφου τοῦ Θεοῦ

63 ἐδὲμ Q Pc   73 ἀθάνατε] ὁ θάνατος Pc   74 θανατούμενος] σωματούμενος Pc
heirm. ε΄ EE 100, n. 141, Joannis   75 τυπούμενος] τυπτόμενος Mf
84 τὰς om. Mf   85 ἀχειρότευκτον Pc

63-65 Is. 63,1   65 Ps. 44,3   75-79 Ps. 67,19; Eph. 4,8   84 Ps. 23,7

καὶ πρὸς τὸ ἀρχέτυπον
οἱ πιστοὶ μεταγράφεσθε ».

Τὸ τόξον σου τέθηκας
f. 295v ἐν τῇ νε||φέλῃ, κύριε,
ἔθου δὲ ἐν πέπλῳ τὴν μορφήν σου
τῆς ἐκκλησίας κοσμεῖν στερέωμα,
κυρῶν διαθήκην τὴν καινήν,
καὶ τοὺς καταρράκτας σου
τῆς ὀργῆς ὡς συνέκλεισας.

ᾠδὴ ς΄. *Τὴν θείαν ταύτην καὶ πάντιμον*

« Εὐπρέπειαν τὴν τοῦ οἴκου σου
καὶ τόπον τοῦ σκηνώματος δόξης σου,
Λόγε, ἠγάπησα· »
τούτου τὴν δόξαν τοῦ εἴδους σου
ὁ σὸς προπάτωρ λέγων προδιεχάραξεν.

Σφραγίζων δόξαν ἐλεύσεως
δευτέρας τῆς φρικτῆς παρουσίας σου,
Χριστέ, τοῦ εἴδους σου
f. 296 νῦν || τὴν μορφὴν προϋπέδειξας
ἡμῖν τοῖς σὲ ποθοῦσι, δημιουργὲ τοῦ παντός.

Ἐπέστης, σῶτερ, πρὸς Αἴγυπτον
συντρίβων τὰ ἐκεῖσε ἀγάλματα,
ἡμῖν ἐπέστης δὲ
καὶ διεγείρεις τὸ κάλλος σου
ἀνιστορεῖν καὶ σέβειν καὶ τῶν ἁγίων σου.

« Ὑψοῦτε κύριον ἅπαντες
καὶ τούτου προσκυνεῖτε » βοᾷ Δαβὶδ

heirm. ς΄ EE 100, n. 141, Joannis   101-105, 106-110 strophas inverso ordine Mf tradit, sed eadem manus in margine litteris β΄ γ΄ ordinem rectum tropariorum indicat

89-90 Gen. 9,13   93-95 cfr. Gen. 9,15   96-98 Ps. 25,8
111-113 Ps. 98,5

« τὸ ὑποπόδιον »,
τοῦ προσληφθέντος φυράματος
ἐκ τῆς ἁγνῆς τὸν τύπον ὡς αἰνιττόμενος.

Κάθισμα.

Ἦχος δ'. *Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ*

Ὁ καταβὰς ἐξ οὐρανοῦ
διὰ σπλάγχνα
ἐλέους, εὔσπλαγχνε σωτήρ,
τῆς σαρκός σου
τὴν παναγίαν σήμερον
καὶ ἄχραντον μορφὴν
πόλει τῇ τιμώσῃ σε
καὶ λαῷ χριστωνύμῳ
ἐναπεθησαύρισας
ὡς στερρὰν πανοπλίαν,
ἐξ ἧς ἀντλοῦντες τὸν ἁγιασμόν,
ταύτην ἐν πίστει
θερμῶς προσπτυσσόμεθα.

ᾠδὴ ζ'. *Οὐκ ἐλάτρευσαν τῇ κτίσει οἱ θεόφρονες*

Σέλας ἔλαμψεν ὁμοίως τῆς θεότητος
πρὶν ὑλικῆς ἐν Θαβώρ,
f. 296v || νῦν δὲ ἡ ἄυλος φῶς
τοῦ τύπου ἐκτύπωσις
ὑπὲρ τὸν ἥλιον
ἐξανέτειλε,
τὸν σκοτασμὸν διώκουσα
τῆς δεινῆς κακοδοξίας.

κάθ. post oden γ' tradunt Q Pc indicatio ἤχ. καθ. om. Mf heirm. καθ. HR 29 3 σωτὴρ] χριστὲ Pc 13 προσπτυσσώμεθα Mf Q heirm. ζ' EE 100, n. 141, Joannis 117 πρὶν] πρὸς Q Pc ὑλικῇ Q Pc 120 ὑπὲρ] ὑπὸ Q

116-117 Matth. 17,1-2; Marc. 9,2-3; Luc. 9,28-29

Εἰς τὰ ἴδια νῦν ἦλθεν ὁ ἀΐδιος
διὰ ἐγγράφου μορφῆς·
χάρητε, ἴδιοι,
τοῦτον περιλάβωμεν
καὶ ἀσπαζόμενοι
μελῳδήσωμεν·
« ὁ τῶν πατέρων κύριος
μεθ' ἡμῶν· ἡττᾶσθε ἔθνη ».

Βασιλεὺς βασιλευόντων ἰδοὺ ἔρχεται·
προσυπαντήσατε
οἱ βασιλεῖς, ἱερεῖς
λαοί τε καὶ ἄρχοντες
καὶ ἐκβοήσατε·
« ὁ ἐρχόμενος
εὐλογημένος κύριος
ἐν ὀνόματι κυρίου ».

Ὅτε ῥάβδον προσκυνήσας κατησπάζετο
ὁ Ἰακώβ, προδηλῶν
τὴν τῆς εἰκόνος τιμήν,
ἡμέραν προέγραψε
f. 297 τοῦ || μυστηρίου, ἁγνή,
ἣν ὡς εὔσημον
γνόντες τελοῦμεν σήμερον
ἑορτὴν τῷ τοκετῷ σου.

ᾠδὴ η'. *Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ*

Φοροῦσα ὡς κόσμον σὴν εἰκόνα
ἡ νύμφη σου ἐκκλησία, Χριστέ, κέκραγεν·
« ἴδε τῆς ζωῆς ὑμῶν

---

125 διὰ] δι' Mf 130.138 post κύριος cetera om. Mf 131 ἔθνη ἡττᾶσθε Pc 132 βασιλέων Pc 136 καὶ βοήσατε Mf 140-147 troparium θεοτ. videtur, sed minime signum θεοτ. ostendunt cdd. 143 προέγραφε Q Pc heirm. η' EE 100, n. 141, Joannis 149 ἣν ἠνύφη σου Mf 150 ἡμῶν cdd.

130-131 Is. 8,8-9 132 I Tim. 6,15; Ap. 17,14; 19,16 137-139 Ps. 117,26; Matth. 21,9 140-141 Gen. 47,28-31 145-147 cfr. Ps. 80,4 150-153 cfr. Deut. 28,66

τὸ κάλλος τὸ ἄφραστον
ἀπέναντι κρεμάμενον
τῶν ὀφθαλμῶν ὑμῶν
καὶ ζήσεσθε» · Μωσῆς ὁ προβλέπων
ἔχαιρεν ὑμνῶν σε
εἰς πάντας τοὺς αἰῶνας.

Ῥύεται τρεῖς παῖδας ἐν καμίνῳ
ἐν εἴδει ὑετοῦ ὀφθεὶς ὁ ἄγγελος,
ἀλλ' αὐτὸς ὁ κύριος,
ἐν εἴδει προσλήμματος
ἐπιφανείς, διέσωσε
κόσμον, πρὸς ἔρωτα
τὸν θεῖον ἀναφλέξας βοῶντα·
«σὲ ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας».

Ὄρη γλυκασμόν, βουνοὶ δὲ γάλα,
f. 297v νεφέλαι τῆς || εὐφροσύνης ὕδωρ ῥάνατε·
κούφη ὡς νεφέλη γὰρ
ἥλιος ἐπέφανεν,
ὃν καὶ προβλέπων ἔψαλλε
Δαβίδ· «μακάριος
λαὸς ἀλαλαγμὸν ὁ γινώσκων,
ἐν φωτὶ προσώπου
πορεύσονται κυρίου».

ᾠδὴ θ'. *Ἅπας γηγενὴς*

Νόμος σχετικὴν
εἰκόνων ὑπέγραφε

153 ἡμῶν Q Pc 156 varie v. detruncant Mf Q pro εἰς πάντας τοὺς αἰῶνας tantum καὶ ὑπερυψῶν praebet Pc 158 ὑετοῦ] υἱοῦ cdd. 165 varie v. intermittunt cdd.
heirm. θ' EE 100, n. 141, Joannis 175 Νόμος] Τόμος Q

154-156 cfr. Deut. 18,15.18; Act. 3,22; 7,37 157-158 Dan. 3,49-50 166 Am. 9,13; Joel 4,18 167 cfr. Is. 45,8 168 Is. 19,1 171-174 Ps. 88,16

τιμὴν ἐν τοῖς Χερουβίμ,
Χριστὸς ἡ ἀλήθεια
τρανοῖ δὲ ταύτην, ὡς ἀναφὴς ἀναφὲς
δοχεῖον τῶν αἰσθήσεων
γράψας εἰς αἴσθησιν
πάντας ἄγειν
τούτων προσκυνήσεως
καὶ φρουρεῖν ἀσφαλῶς τὰς αἰσθήσεις πιστῶν.

Ἔθυσε Θεοῦ
ἡ νύμφη τὰ θύματα
ἡ ἐκκλησία, πιστοί,
καὶ κρατῆρα πλήσασα,
κραυγάζει· «δεῦτε γεύσασθε, ἴδετε
ὅτι νυμφίος πάρεστι,
Χριστὸς ὁ κύριος,
βασιλεῦσι
f. 298 || νίκας, ἱερεῦσι δὲ
καὶ λαοῖς τὴν εἰρήνην δωρούμενος».

Σήμερον φωνὴ
Δαβὶδ ἐκπεπλήρωται·
ἐγγὺς ὁ κύριος
ἐπικαλουμένοις γὰρ
ἐν ἀληθείᾳ καὶ ὡς δυνάμεως
ῥάβδον φωνὴν ἀπέστειλε
τῆς ἐξ ἀνάνδρου μορφῆς·
βασιλὶς μὲν
πόλις, ἐξανάστηθι
καὶ τῆς γῆς τῶν περάτων κυρίευε.

202 μὲν] δὲ Pc

189-191 Ps. 33,9; I Petr. ep. 2,3 197-199 Ps. 144, 18 199-204 Ps. 109,2

IN DEIPARAE DORMITIONEM ET IN SS. PAULUM ET IULIANAM MARTYRES PTOLEMAIDIS

Synaxarium, 905-908: ... ἄθλησις τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων Παύλου καὶ Ἰουλιανῆς τῆς ἀδελφῆς αὐτοῦ, ... ἐν Πτολεμαΐδι. Οὗτοι ὑπῆρχον ἐπὶ Αὐρηλιανοῦ τοῦ βασιλέως ἐν Πτολεμαΐδι, ἐτύγχανον δὲ ἀδελφοὶ κατὰ σάρκα, φύντες εὐγενῶς καὶ τραφέντες καλῶς εὐσεβείᾳ μᾶλλον ἢ γάλακτι. Ὁ δὲ Παῦλος τὰς θεοπνεύστους γραφὰς μετῆλθεν ἐπιμελῶς καὶ τὸν νοῦν αὐτῶν ἐκμελετήσας ἔτι νέος ὤν, προχειρότατα τοὺς ἀντιλέγοντας ἐπεστόμιζε καὶ κῆρυξ ἔνθεος τῆς τοῦ Θεοῦ Λόγου οἰκονομίας τῆς περὶ ἡμᾶς ὑπῆρχε. Ἐπιδημήσαντα οὖν τῇ πόλει τὸν βασιλέα ἰδών, θαρρεῖν τῇ ἀδελφῇ παρεκελεύσατο καὶ στῆναι προθύμως, ὡς μεγάλου μέλλοντος τὴν πόλιν καταλαμβάνειν πειρασμοῦ, καὶ αὐτὸς ἑαυτὸν ἔμπροσθεν τοῦ βασιλέως τῷ τύπῳ καθώπλισε τοῦ σταυροῦ. Ἐπεὶ δὲ οὐκ ἔλαθε σφραγισάμενος, προσήχθη τῷ βασιλεῖ καὶ τὴν εἰς Χριστὸν ὁμολογήσας πίστιν, τὴν τῶν εἰδώλων διήλεγξε ματαιότητα· ὅθεν κρεμασθεὶς ξέεται. Ὃν ἰδοῦσα ἡ ἀδελφὴ κατεβόα τοῦ τυράννου, ὡς ἀδίκως αἰκιζομένου τὸν ἀδελφόν. Συλλαμβάνεται οὖν καὶ αὐτὴ καὶ κρεμασθεῖσα ξέεται, καὶ ἐν λέβητι, ἔνθα πίσσα βράζουσα ἦν, ἀμφότεροι βάλλονται καὶ ἔτι ἐπιμένοντες τῇ τοῦ Χριστοῦ πίστει, ἐπὶ κλίνης σιδηρᾶς πεπυρωμένης ἁπλοῦνται καὶ τοὺς νώτους ἄνωθεν τύπτονται ... εἶτα ἐν εἱρκτῇ οἱ ἅγιοι τίθενται διαληφθέντες δεσμοῖς σιδηροῖς· οὓς ἐλθὼν διέλυσεν ἄγγελος καὶ ἄρτον αὐτοῖς παρέθηκεν, ἐξ οὗ τὴν τοῦ σώματος πληρώσαντες χρείαν, τῷ Θεῷ ηὐχαρίστησαν. Καὶ αὖθις παραστάντες τῷ βασιλεῖ καὶ θῦσαι τοῖς εἰδώλοις μὴ βουληθέντες τύπτονται. Στρατονίκου δέ τινος ἑνὸς τῶν δημίων τὴν ἁγίαν Ἰουλιανὴν κατοικτείραντος καὶ πρὸς τὸ εὐώνυμον μετακλιθέντος καὶ τῷ Χριστῷ πιστεύσαντος, ὅτι δὴ αὐτὴ ἡ ἁγία προετρέπετο αὐτὸν μὴ φείδεσθαι ἀλλὰ ποιεῖν τὸ τοῦ βασιλέως πρόσταγμα, μανεὶς ὁ τύραννος αὐτοῦ μὲν τὴν κεφαλὴν ἀπέτεμε, τοὺς δὲ ἁγίους ἐκέλευσεν ἰοβόλοις ἑρπετοῖς συναποκλεισθῆναι· ἐξ ὧν διαμείναντες ἀβλαβεῖς, τὸν μὲν ἅγιον Παῦλον τύπτεσθαι μολιβίσι τὰς σιαγόνας, προσδεθέντα πάλῳ σιδηρῷ, προστάσσει καὶ ἑκατέρωθεν ὑπὸ τεσσάρων ῥάβδων πεπυρωμένων τύπτεσθαι, τὴν δὲ ἁγίαν Ἰουλιανὴν εἰς πορνεῖον ἀπενεχθῆναι καὶ ὑπὸ ἀσώτων ἀνδρῶν ὑβρισθῆναι· οὓς προσιόντας ἄγγελος κυρίου παραστὰς τῷ κονιορτῷ τῶν ποδῶν αὐτοῦ ἀπετύφλου. Ἀλλὰ τούτους μὲν ἡ ἁγία, εὐξαμένη καὶ ὕδωρ αὐτοῖς ἐπιχέασα, κατέστησεν ὑγιεῖς, αὕτη δὲ μετὰ τοῦ ἀδελφοῦ αὐτῆς Παύλου ἐμβάλλεται βόθρῳ πυρός. Κελεύσαντος δὲ τοῦ τυράννου ἐν αὐτῷ τῷ πυρὶ λιθοβοληθῆναι αὐτούς, ὤφθη ἄνωθεν νεφέλη πεπληρωμένη φλογός, ἥτις πλησίον Αὐρηλιανοῦ πυρὸς κατέχεεν ὄμβρον. Ὁ δὲ φοβηθεὶς ἀνένεγκεν ἐκ τοῦ βόθρου τοὺς ἁγίους καὶ ἐκέλευσε ξύλῳ προσδεθῆναι αὐτοὺς καὶ λαμπάσι τὰς ὄψεις

αὐτῶν καὶ ὅλον τὸ σῶμα καταφλεχθῆναι καὶ μετὰ τοῦτο τὰς κεφαλὰς αὐτῶν ἀποτμηθῆναι. Τούτου δὲ γενομένου εὐκλεῶς οἱ καλλίνικοι τὸν ὑπὲρ Χριστοῦ τῆς μαρτυρίας στέφανον ἀνεδήσαντο.

Matrit. gr. 4694 = A, ff. 195-197

Ὁ κανών.

⟨Ἐν τοῖς θεοτοκίοις· Γεωργίου.⟩

Ἦχος β'.

ᾠδὴ α'. *Δεῦτε, λαοί,*
ᾄσωμεν ᾆσμα Χριστῷ τῷ Θεῷ

Ἀγγελικαὶ
σήμερον τάξεις χορεύουσι
καὶ ἐμφανῶς προτρέχουσι
τῆς πάσης κτίσεως,
βασιλίδος πορείας
τὰς πρὸς οὐρανὸν αὐτῇ
ἐξευτρεπίζουσιν.

Ὁ οὐρανὸς
σήμερον χαίρων εἰσδέχεται
οὐρανὸν τὸν ὑπέρτερον
καὶ ὑπερένδοξον,
τὴν ἁγίαν παρθένον,
ἐκ γῆς ἀναγομένην
πρὸς τὰ οὐράνια.

Τῶν ἀθλητῶν
σήμερον δῆμος θεόλεκτος
δορυφορῶν τῇ θείᾳ σου,
θεοχαρίτωτε,
μεταστάσει, μετέχει
δωρεῶν τῶν ἀφθόνων
τῆς σῆς χρηστότητος.

---

nomem auctoris deest in rubrica
heirm. α' EE 37, n. 51, Cosmae

θεοτ. Γαληνιᾷ
ἅπασα κτίσις, παρθένε ἁγνή,
καὶ εὐφροσύνης σήμερον
ἐν τῇ ἐνδόξῳ σου
μεταστάσει πληροῦται·
f. 195ʳ ἀπαρχὴν ‖ γὰρ Θεῷ σε
παρέχει χαίρουσα.

ᾠδὴ γʹ. *Στερέωσον ἡμᾶς*

Ἡ κλῖμαξ τοῦ Θεοῦ
εἰς ὕψος ἵδρυσαι
οὐρανῶν,
ἀνάγουσα τοὺς ἀνθρώπους
μεσιτείᾳ μητρικῇ πρὸς αὐτὸν
τὸν ἡμῖν διὰ ταύτης ἐνδημήσαντα.

Ἡ στάμνος τῆς ζωῆς
ἡμῖν ἡ πάγχρυσος
ταμείοις
ἀσύλοις ἐναπετέθη,
διατρέφουσα ἡμᾶς νοητῶς
εὐπροσδέκτοις πρεσβείαις καὶ δεήσεσιν.

Τὴν χάριν τοῦ Θεοῦ
ὡς Παῦλος, ἔνδοξε,
ἐδέξω
ἐνθέῳ ἀποκαλύψει·
διὰ τοῦτο τῶν ἀγώνων αὐτοῦ
κοινωνὸς ἀνεδείχθης καὶ τῆς χάριτος.

θεοτ. Ἐκ γῆς πρὸς οὐρανὸν
μεταναστεύουσα,
εἰργάσω

---

24 καὶ εὐφροσύνης] ἐν εὐφροσύνῃ cd.
heirm. γʹ EE 39, n. 53, Cosmae

---

29 Gen. 28,12 ss. 35 Ex. 16,33-34 41-44 cfr. Act. 22,6-21

οὐρανούς, θεοκυῆτορ,
τοὺς ναούς σου, ἐπουράνια
ἐν αὐτοῖς ἐνεργοῦσα τὰ θαυμάσια.

Κάθισμα.

Ἦχος δʹ. *Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ ἑκουσίως*

Τοὺς πολυτρόπους αἰκισμοὺς ἐνεγκόντες,
τὸν πολυμήχανον ἐχθρὸν καθελόντες
οἱ ἀθληταί σου, κύριε,
ἀγάλλονται ἐν σοί,
στέφος κομισάμενοι
παρὰ σοῦ ἀφθαρσίας,
ὧν ταῖς παρακλήσεσι
ῥῦσαι πάντας κινδύνων
τοὺς ἐκτελοῦντας τούτων τὴν σεπτὴν
μνήμην ἐκ πόθου,
Χριστὲ πολυέλεε.

ᾠδὴ δʹ. *Εἰσακήκοα, κύριε,
τὴν ἀκοὴν τῆς σῆς οἰκονομίας*

Ἡ πηγὴ ἡ ἀθόλωτος,
ἐν οὐρανοῖς σεπτῶς μετατεθεῖσα,
τῶν θαυμάτων πᾶσι πηγάζει νάματα.

Ἡ ζωὴν τὴν ἀκήρατον
σαρκί, Χριστόν, τεκοῦσα, θεομῆτορ,
πρὸς ζωὴν μετέστησας ἀτελεύτητον.

Τὴν ζωὴν τὴν ἀθάνατον
Χριστοῦ ποθοῦντες, ἅγιοι, πρὸς τοῦτον
διὰ τέλους θείου ἐξεδημήσατε.

---

heirm. καθ. HR 29
heirm. δʹ MR I, 96; idem deest in EE

---

53 cfr. Cant. 4,12.15

θεοτ. Ὡραιωθεῖσαν τοῖς κάλλεσι
σὲ τῆς ἁγνείας, δέσποινα, ὁ κτίστης
ἐκ δεξιῶν τῆς δόξης αὐτοῦ παρέστησεν.

ᾠδὴ ε΄. *Ὁ τοῦ φωτὸς χορηγὸς*
καὶ τῶν αἰώνων ποιητὴς κύριος

Ὁ καινουργήσας ἐν σοὶ
τόκον παράδοξον, ἁγνή, κύριος,
νῦν γεωργεῖ
μετάστασιν ξένην
ἐν σοὶ ὡς ποιητὴς
καὶ πάντα βουλήσει
ποιῶν ὅσα βούλεται.

f. 196 ‖ Ὁ ἐν τοῖς κόλποις τοῖς σοῖς
ἀνακλιθεὶς σαρκὶ Χριστός, δέσποινα,
σοῦ τὴν ψυχὴν
ἐν χερσὶν οἰκείαις
Χριστός, ὃς ἐκ τῆς σῆς
γαστρὸς ἀπετέχθη,
αὐτὴν ἐγκατέπαυσεν.

Τὸν τοῦ παντὸς ποιητὴν
ἐπιποθήσαντες, Χριστοῦ μάρτυρες,
σέβας φθαρτὸν
καὶ κτιστὴν λατρείαν
ἀπώσασθε· διὸ
εὔχρηστα κυρίῳ
ἐδείχθητε κτίσματα.

θεοτ. Ῥεῖθρα πηγάζεις ἡμῖν
καὶ μεταστᾶσα ἀπὸ γῆς, ἄχραντε,
τῶν δι᾽ αὐγῆς
θαυμάτων καὶ πάντας

63 ὁ κτίστης] ἡ κτίσις cd.
heirm. ε΄ EE 38, n. 51, Cosmae   73 ἀνακληθεὶς   76 ὃς] ὁ cd.

ἐξ ὕψους οὐρανῶν
νοητῶς ἀρδεύεις
τοὺς πόθῳ τιμῶντάς σε.

ᾠδὴ ς΄. *Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος*

Τοῦ Θεοῦ ἡ σκηνὴ ἡ ὑπέρφωτος
τὰς σκηνὰς κατέπαυσε τὰς ὑπὲρ ἔννοιαν
καὶ ἡμῖν καταφύγιον
τὰς αὐτῆς ἱκεσίας παρέσχετο.

Τῶν ἀγώνων τὸν κλύδωνα, ἅγιοι,
καὶ τὰς τρικυμίας αἰσίως περάσαντες,
πρὸς ὅρμον γαληνότατον
δι᾽ ἀθλήσεως θείας ἐφθάσατε.

Σὺν τῷ Παύλῳ αἰνείσθωσαν σήμερον
Ἰουλιανὴ καὶ Στράτων ὁ ἀοίδιμος
καὶ Τυχικὸς καὶ Φίλιππος
ὡς Χριστοῦ γενναιότατοι μάρτυρες.

θεοτ. Γηγενεῖς τῆς κοινῆς ἀναστάσεως
ἐν τῇ μεταστάσει σου, θεοχαρίτωτε,
ἀσφάλειαν ἐδέξαντο·
σὺ γὰρ ταύτην σαφῶς προεκήρυξας.

ᾠδὴ ζ΄. *Εἰκόνος χρυσῆς*
ἐν πεδίῳ Δεηρᾷ

Παρθένων χοροὶ
σοῦ τῆς μόνης καθαρᾶς
καὶ ἀμιάντου
μεταβαινούσης πρὸς οὐράνιον

heirm. ς΄ EE 34, n. 46, Joannis   102 ἰουλιανὸς   107 ἐδείξαντο
heirm. ζ΄ EE 39, n. 53, Cosmae

93 Ex. 25,9; 26,1

λῆξιν καὶ δόξαν, πανάχραντε,
προοδοποιοῦντες ἐκρότουν
καὶ ἐν χαρᾷ ἀνεκραύγαζον·
« εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

Ὁ λύσας Χριστὸς
τριημέρῳ τῇ ταφῇ
δεσμὰ θανάτου
καὶ τὰ τοῦ Ἅδου οἰκητήρια
ἀποκενώσας ὡς εὔσπλαγχνος
τελεῖ, τριημέρῳ ταφῇ, σοῦ
τὴν μετάστασιν, ἄχραντε·
εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν.

Τὸ πῦρ τῆς Χριστοῦ
ἀγαπήσεως ὑμῶν
ἐν ταῖς καρδίαις
f. 196v ‖ ἀναφθέν, πᾶσαν τὴν προσπάθειαν
τῶν ἐπικήρων κατέφλεξε
καὶ ὡς πυριμόρφους ἀστέρας
ἀνθρώποις ἔδειξε ψάλλοντας·
« εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

θεοτ. ⟨I —́ — — —́
— — —́ — — — —́
— —́ — —́ —
— — — —́ — — — —́ — —
— — — —́ — — —́ — —
— — — — —́ — — —́ —
— —́ — —́ — — —́ — —
— — — —́ — — — —́
— — — —́ — — —́.⟩

116-117 vv. detruncat scriba 118 χριστὲ 123 τέλει ταφῆσσου 127 τῆς] τοῦ cd. 128 ἡμῶν 136-144 θεοτ., littera I incipiens, desideratur; cd. tamen aliam et dissimili metro refert stropham cuius prima littera ab acrostichide discedit, videlicet Δυσώπει τὸν σὸν υἱὸν ... ed. in MR II, 366; AHG III, 93

ᾠδὴ η'. *Τὸν ἐν καμίνῳ τοῦ πυρὸς*

Ὁ καινουργήσας ὡς Θεὸς
ἀναστάσει τῇ αὐτοῦ
ζωὴν ἀνθρώποις
τὴν ἀθάνατον, ξένην
καὶ ὑπὲρ ἔννοιαν,
παρθένε,
σὲ ὡς μόνην ἄχραντον
αὐτὸς μεταστάσει
ἐδόξασεν ἐν κόσμῳ.

Τὴν τῶν παρόντων μοχθηρῶν,
ἀθλοφόροι τοῦ Χριστοῦ,
φυγόντες πλάνην,
ἀπλανῆ τῶν μελλόντων
ζωὴν ἀλλάξασθε,
ὑμνοῦντες
ἀπαύστως τὸν κύριον
καὶ ὑπερυψοῦντες
εἰς πάντας τοὺς αἰῶνας.

θεοτ. Ὁ ἐνοικήσας ὑπὲρ νοῦν
καὶ διάνοιαν ἐν σοί,
θεοκυῆτορ,
πρὸς σκηνὰς οὐρανίους
σὲ μετατέθηκεν,
ἀξίας
ὀφειλὰς καὶ χάριτας
ὡς δίκαιος νέμων
υἱὸς καὶ ποιητής σου.

ᾠδὴ θ'. *Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον,*
τὸν ἀρρήτῳ σοφίᾳ

Ὡς παραδόξων θαυμάτων
καὶ φρικτῶν μυστηρίων

heirm. η' EE 35, n. 47, Joannis 158 ἀλλάξασθε pro ἠλλάξασθε: cfr. PSALTES, 202; MITSAKIS, 54 161 post ὑπερυψοῦντες cetera detruncat
heirm. θ' EE 34, n. 46, Joannis

ὑπάρχουσαν ταμίαν σε, ἁγνή,
ὁ σαρκωθεὶς ὑπὲρ λόγον ἐκ σοῦ
παραδόξως καὶ ξένῃ
ἐτίμησε τῇ δόξῃ τῇ αὐτοῦ,
ἀπὸ γῆς μεταβᾶσαν
πρὸς λῆξιν τὴν οὐράνιον.

Ὡς ἐλλαμφθέντες τῇ πίστει
τοῦ τῶν ὅλων δεσπότου,
διέστητε λατρείας δυσσεβῶν
καὶ ὁμοψύχως ἠθλήσατε
ὑπὲρ τῆς ἀληθείας,
τὸ ψεῦδος πολεμοῦντες ἰσχυρῶς·
διὰ τοῦτο στεφάνων
ἐνθέως ἠξιώθητε.

Τῶν ἀπορρήτων τυχόντες
ἀγαθῶν, ἀθλοφόροι,
καὶ δόξης αἰωνίου καὶ χαρᾶς,
τὸν ἀθλοθέτην καὶ πάροχον
τούτων σὺν τῇ δεσποίνῃ
καὶ μόνῃ ἐξαιτήσασθε ἁγνῇ
συμμετόχους γενέσθαι
ἡμᾶς τῆς ὑμῶν χάριτος.

θεοτ. Ὑπεραστράπτει ἡ αἴγλη
ἐν τῇ σῇ μεταστάσει
f. 197 τῆς δόξης σου, || πανάχραντε ἁγνή,
καὶ καταυγάζει τὰ πέρατα
καὶ ἡμᾶς ταῖς ἀκτῖσι
φαιδρύνει ταῖς τῆς χάριτος αὐγαῖς
τοὺς ἐν πίστει καὶ πόθῳ
σὲ ὕμνοις μεγαλύνοντας.

---

174 ὑπάρχουσα 181 τοῦ] τῶ cd. δεσπότη 192 τοῦτον

IN SANCTUM ELIAM SICULUM VEL JUNIOREM

Crypt. Δ.α. XII = Cp, ff. 88-91

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Τὸν θεῖον ὑμνῶ τοῖς ἐπαίνοις Ἠλίαν.
Ἐν τοῖς θεοτοκίοις· Προκόπιος.

Ἦχος δ'.

ᾠδὴ α'. *Τριστάτας κραταιοὺς*
ὁ τεχθεὶς ἐκ παρθένου

Τὸν πρὶν παραζηλῶν
ἐν τοῖς τρόποις Ἠλίαν
ὁ νῦν λάμψας ἀρεταῖς
Ἠλίας ὁ κλεινός,
ὡς ἀστὴρ πολυθαύμαστος
ἔφυ ταῖς δυσμαῖς ἡλίου,
οἰκουμένης τοῖς πέρασιν
ἀποπέμπων αὐγὰς τῆς ἀσκήσεως.

Ὁ βίος ἱερὸς
ἐκ νεότητος ὤφθη·
ἀνοήτους γὰρ λιπὼν
συγχύσεις, ἀσκητῶν
κατηρίθμησαι τάγμασι,

---

heirm. α' EE 95, n. 135, Joannis

1-4 G. Rossi Taibbi, *Vita di Sant'Elia il Giovane*, «Testi» 7, Palermo 1960, 19[52-54]: ... οὕτως γένεται καὶ Ἠλίᾳ τῷ Θεσβίτῃ σύνδρομος καὶ τῆς τούτου συμμέτοχος χάριτος.

9-13 G. Rossi Taibbi, o.c., 63[1287-1290]: Καταντήσαντες δὲ εἰς τόπους ἐρήμους τε καὶ ἀνύδρους, εἰώθεισαν γὰρ πολλάκις τοῦτο ποιεῖν πρὸς τὸ φεύγειν τὰς τῶν ἀνθρώπων ὁμιλίας καὶ ἀπερισπάστως προσεύχεσθαι, ...

φρόνημα σαρκὸς ῥεούσης
ὑποτάξας τῷ πνεύματι,
ἐγκρατείᾳ καὶ πόνοις ἀσκήσεως.

Νεάζων τῇ σαρκί,
ἠξιώθης, παμμάκαρ,
χαρισμάτων ἐκ Θεοῦ,
σοφέ, προφητικῶν,
προορᾶν τὰ ἐσόμενα
πᾶσί τε προαναγγέλλων
τῶν μελλόντων τὴν ἔκβασιν
καὶ εἰς θαῦμα κινῶν τοὺς ἀκούοντας.

Θεῷ προσκολληθεὶς
καὶ αὐτῷ προσανέχων,
Σικελίας προϊὼν
ἐδάφους, δυσμενῶν
νοητῶν πανουργεύματα
ἔτρεψας λαμπροῖς ἀγῶσι,
νικητὴς ἀξιάγαστος
δεδειγμένος δυνάμει τοῦ πνεύματος.

θεοτ. Παρθένον βρεφουργὸν
γαλουχοῦσαν ἡ φύσις
καὶ μητέρα τῆς γαστρὸς
τὰ κλεῖθρα μέχρι σοῦ
σώζουσα οὐ τεθέαται·
μόνη γὰρ ἄμφω συνῆψας·

14-16 G. Rossi Taibbi, o.c., $42^{686-692}$: Ἐνήστευε δὲ ἀεὶ καὶ καρυκεία ἦν αὐτῷ ἄρτος καὶ ἅλας· ποτὸν τὸ κρηναῖον νᾶμα· στρωμνὴ πόα· σύναξις ἡ πάννυχος στάσις· κάθαρσις οἱ στεναγμοὶ καὶ ἡ τοῦ θανάτου διηνεκὴς μελέτη. Καὶ ἐν τοιαύτῃ σκληραγωγίᾳ τὴν σάρκα ὑποπιέζων καὶ δουλαγωγῶν, τῶν ὑπερακμαζόντων... φαιδρότερος ἐφαίνετο...
G. Rossi Taibbi, o.c., $23^{178-179}$: Καὶ ἦν ... θεαρέστως βιῶν καὶ τὴν σάρκα ὑποτάσσων τῷ πνεύματι ...

17-24 G. Rossi Taibbi, o.c., 19^{61-64}: ... ἐφανέρου γὰρ ὁ κύριος αὐτῷ τῶν γενησομένων τὴν ἔκβασιν καὶ βλέπειν χάριν ἐδίδου τὰ μακράν, ὡς πάλαι τῷ Σαμουήλ, προγνοὺς ἐκ μήτρας αὐτὸν καὶ ἁγιάσας ἐκ βρέφους, Ἱερεμίαν ὡς ὕστερον. cfr. etiam p. 40 $^{626-629}$.

25-32 cfr. G. Rossi Taibbi, o.c., 36-38 § 27-28.

τῆς γὰρ φύσεως, πάναγνε,
ὁ ἐκ σοῦ προελθὼν πλάστης πέφυκεν.

ᾠδὴ γ'. *Ἀφ' ὕψους κατῆλθες*
βουλήσει ἐπὶ γῆς

Ἐδείχθης ὡς δένδρον
κατάκομον πολλαῖς
ταῖς ἀρεταῖς λαμπόμενος·
ὅθεν ἀξίως δέδεξαι
τὸ χρῖσμα τῆς ἀρίστης
ἱερωσύνης
τελῶν τὰ πανσέβαστα,
θεῖα μυστήρια.

Ἱδρῶτας ἀνέτλης
μαρτύρων ἐν Χριστῷ
f. 88v καὶ πόνους, ‖ γενναιότατε·
βαρβαρικαῖς παλάμαις γὰρ
Ἀράβων συνεσχέθης
πολλῶν τε πεῖραν
μαστίγων καὶ θλίψεων
ἔσχες ξεόμενος.

heirm. γ' EE 95, n. 135, Joannis

41-48 G. Rossi Taibbi, o.c., 29^{339}-30^{356}: Γενόμενος τοίνυν ἐν τῇ ἁγίᾳ πόλει ... προσεκύνησε τὸν ἅγιον ... τοῦ Χριστοῦ ... τάφον ... Ἀπεκαλύφθη γὰρ ἡ αὐτοῦ παρουσία τῷ ... πατριάρχῃ Ἠλίᾳ, ... ὃς μεταστειλάμενος τὸν ὅσιον καὶ γνοὺς τὴν ἐνοικοῦσαν ἐν αὐτῷ χάριν τοῦ πνεύματος ... « θεωρῶ » ἔφη « ἐν κοσμικῷ σχήματι μοναδικὴν ἐν σοὶ καὶ πολιτείαν καὶ φρόνησιν ». Τοῦ δὲ ἐξειπόντος αὐτῷ πάντα τὰ ἐν τῇ καρδίᾳ αὐτοῦ, λαβὼν αὐτὸν ὁ τοῦ Θεοῦ ἱεράρχης κάτεισιν ἔμπροσθεν τοῦ ἁγίου Κρανίου καί, ποιήσας εὐχὴν ἐπ' αὐτῷ, ἐνδιδύσκει αὐτὸν τὸ ἅγιον τῶν μοναζόντων σχῆμα, Ἠλίαν δὲ μετωνόμασεν ἀξιωθεὶς παρ' αὐτοῦ.

49-53 G. Rossi Taibbi, o.c., $23^{166-170}$: Οὐ πολὺ τὸ ἐν μέσῳ καὶ γίνεται ἡ ἔφοδος τῶν Ἀγαρηνῶν, τῆς προτέρας χαλεπωτέρα, καὶ μακρὰν τῶν ἐρυμνῶν πρὸ πόλεως ὁ νεανίας γενόμενος, ... συλλαμβάνεται ὑπ' αὐτῶν καὶ πιπράσκεται καὶ αὖθις χριστιανῷ καὶ ἀπάγεται εἰς τὴν Ἀφρικήν.

54-64 G. Rossi Taibbi, o.c., $26^{244-248}$: ... ἔθλιβε τὸν ἀθλητὴν ἀφειδῶς μαστίζων, τίλλων αὐτοῦ τῆς κεφαλῆς τοὺς βοστρύχους, ἔσθ' ὅτε καὶ ἁλύσει καὶ ξύλῳ καταδικάζων. Καὶ ἦν ἰδεῖν τὸν μακάριον καθ' ἡμέραν θλιβόμενον καὶ πολλὴν ἄθλησιν ὑπομένοντα παθημάτων, χαίροντά τε τῇ ἐλπίδι τῶν στεφάνων...

Οὐδόλως ἠρνήσω
τοῦ πλάστου καὶ Θεοῦ,
ῥοπάλοις αἰκιζόμενος,
τὸ ὑπερφέρον ὄνομα,
Ἠλία θεοφόρε·
ὅθεν ἀξίως
ἀπείληφας ἄνωθεν
στέφος ἀμάραντον.

θεοτ. Ῥυπῶσαν τὴν φύσιν,
Χριστέ, τῶν γηγενῶν
τῷ τοῦ γενάρχου πτώματι
προσειληφὼς ἐκάθηρας·
ἐκ κόρης γὰρ ἀμώμου
βρέφος ὡράθης,
Θεὸς μένων ἄτρεπτος
καὶ ἀναλλοίωτος.

f. 89 ‖ Κάθισμα.

Ἦχος α΄. *Χορὸς ἀγγελικὸς*

Ὁ βίος σου λαμπρὸς
ἀνεδείχθη ἐν κόσμῳ,
ἡ ἄσκησις στερρά,
θαυμαστοὶ οἱ ἀγῶνες,
οἱ πόνοι πανάριστοι,
Ἠλιοὺ παμμακάριστε·
ὅθεν ἄνωθεν
χάριν λαβών, θεραπεύεις
δυσθεράπευτα
πάθη καμνόντων ἀνθρώπων
λιταῖς σου πρὸς κύριον.

---

heirm. καθ. MR III, 481

ᾠδὴ δ΄. *Ὁ καθήμενος ἐν δόξῃ*
ἐπὶ θρόνου θεότητος

Νεαζούσῃ ἡλικίᾳ
γηραιὰν φέρων φρόνησιν,
Ἰωσὴφ ἐδείχθης
ἄλλος, Ἠλιού· πειρασμοὺς γὰρ δεινοὺς
ὑπενεγκὼν ὡς ἐκεῖνος,
ἀκηλίδωτον
τῆς ἁγνείας τὸ κάλλος σωφρόνως ἐτήρησας.

Ὑπὸ τῆς ἐν σοὶ σκηνούσης
κρατυνόμενος χάριτος,
τοὺς σεπτοὺς καὶ θείους
τόπους γηθοσύνως κατέλαβες,
ἐξ ὧν πρὸς Ῥώμην φοιτήσας,
ἁγιότητος
σεαυτὸν κατηρτίσω λαμπρὸν ἐνδιαίτημα.

Μυροθήκην ἀποδείξας
τὸ γεῶδές σου σκήνωμα
τῇ προσψαύσει, πάτερ,
τῶν ἁγιασμάτων καὶ πόδας σου

---

heirm. δ΄ EE 95, n. 135, Joannis

73-74 G. Rossi Taibbi, o.c., 20^{94-96}: Ταῦτα διδάσκοντος αὐτοῦ, οἱ φιλόκαλοι πάντες ἔχαιρον· ἑώρων γὰρ ἐν παιδικῇ ἡλικίᾳ γηραιὸν φρόνημα ...

75-79 G. Rossi Taibbi, o.c., $24^{195-208}$: Τὴν ὁμόζυγον τοῦ κυρίου αὐτοῦ εἰς ἔρωτα κινεῖ καὶ φίλτρον αὐτοῦ, ἥτις, ὑπὸ τοῦ δεινοῦ τούτου φλεγομένη πάθους, μυρίοις τεχνάσμασιν ἐπολιόρκει τὸν νεανίαν ... Ὁ δὲ νέος Ἰωσὴφ καὶ τῆς σωφροσύνης θερμότατος ἐραστής, ὥσπερ τεῖχος ὀχυρὸν ἢ πέτρα στερρά, τὰ τῆς ἀρτιφανοῦς Αἰγυπτίας ἀπεκρούετο βέλη, τὴν σάρκα μὲν δαμάζων δι᾿ ἐγκρατείας καὶ ἀγρυπνίας, τὰ μέλη δὲ κατατρύχων τῇ χαμευνίᾳ καὶ ἀλουσίᾳ. cfr. etiam pp. 24-25 § 12.

80-83 G. Rossi Taibbi, o.c., $27^{270-273}$: Ἐπεθύμησε δὲ τὴν Παλαιστίνην καταλαβεῖν, ἵνα τοὺς τὰ σωτήρια δεξαμένους τόπους πάθη ἐπ᾿ αὐτοῖς προσκυνήσῃ τὸν σεσωκότα Θεὸν ... cfr. etiam pp. 29-31 § 18-20.

84-86 G. Rossi Taibbi, o.c., $43^{727-728}$: Γενόμενος δὲ ἐν Ῥώμῃ καὶ πληρώσας τὴν εὐχήν, οὐ τῆς τυχούσης ἀπώνατο τιμῆς ...

73-79 Gen. 39,6 ss.

καθωραΐσας, τοῖς κόλποις
καλαβρίτιδος
γῆς ἐπέβης, τὰ ἆθλα τελῶν τῆς ἀσκήσεως.

Νουνεχῶς ἐγκύψας, πάτερ,
τῷ λειμῶνι ὡς μέλισσα
τῆς γραφῆς, ἐν γλώσσῃ
ἔφερες τὰ ἄνθη τοῦ πνεύματος,
σαυτὸν ὁμοῦ καὶ τοὺς πέλας,
ἱερώτατε,
διατρέφων ὡς· ἄρτῳ πλουσίως τοῖς λόγοις σου.

θεοτ. Ὁ καθήμενος ἐν κόλποις
τοῖς πατρῴοις δι' ἄφατον
εὐσπλαγχνίαν σάρκα
ἐκ σοῦ προσλαβών, θεονύμφευτε,
συνανετράφη ἀνθρώποις,
ὡς προέφησε
θεηγόρος προφήτης, καὶ κόσμον ἀνέπλασεν.

ᾠδὴ ε'. Νῦν ἀναστήσομαι,
προφητικῶς ἔφη ὁ Θεός

Ὥσπερ ἀσύλητον
ὄλβον, σοφέ, τὴν διὰ Χριστὸν
στέργων ἑκάστοτε
πτωχείαν, ἔχαιρες
ἀκτησίαν παντελῆ,

---

heirm. ε' EE 95, n. 135, Joannis

94-97 G. Rossi Taibbi, o.c., $45^{785-786}$: ... τὴν φιλεργὸν μιμούμενος μέλιτταν, τὸ τῆς ἀληθοῦς φιλοσοφίας κατεσκεύαζε μέλι ...
108-112 G. Rossi Taibbi, o.c., 42^{709}-43^{715}: «... Ἡμεῖς δὲ πάσῃ σπουδῇ τὴν ἀκτημοσύνην ἐπισπασώμεθα, ἵνα μὴ ὀνειδισθῶμεν ὑπὸ τῶν ἀγγέλων τοῦ Θεοῦ ...· ὥσπερ γὰρ οὐκ ἔστιν εἰπεῖν τὸν ἕν τι μέλος τοῦ σώματος πάσχοντα ὑγιῆ, οὕτως οὐδὲ τὸν μοναχόν, περί τι τῶν φθαρτῶν σχετικῶς διακείμενον, ἀπαθῆ καὶ ἀκτήμονα λέγεσθαι».

105-107 Bar. 3,38 111-115 cfr. Matth. 5,3 ss.

τοῖς θεογράφοις
καὶ σεπτοῖς μακαρισμοῖς
ἀφορῶν τε καὶ κραταιούμενος.

f. 89ᵛ ‖ Τίς τῶν χαρίτων σου
λόγος εἰπεῖν σθένει τὸν ἑσμόν;
βλύζεις γὰρ θαύματα,
διώκεις πνεύματα
πονηρὰ καὶ ἀλγεινὰ
πάθη ἀνθρώπων
φυγαδεύεις τῶν πιστῶς,
θεοφόρε, μακαριζόντων σε.

Οἶκτον πρὸς πένητας
ἔχων ἀεὶ ἔτρεφες αὐτοὺς
τῷ ὑστερήματι,
ὃ καὶ παράδοξον,
θησαυρίζων οὐρανοῖς
ἄφθονον πλοῦτον,
οὗπερ νῦν περιφανῶς
ἀπολαύεις, Ἠλία πάντιμε.

118-123 G. Rossi Taibbi, o.c., $36^{521-526}$: ... προσέφερον αὐτῷ πυρέττοντας καὶ φρικιῶντας καὶ πάντας αὐτοὺς τῇ ἐπικλήσει τοῦ σωτῆρος ἰᾶτο. Μεθ' ὧν καὶ δύο νεαζούσας ἀγαγόντες — ἦσαν γὰρ ὑπὸ δαιμόνων δεινῶς ἐνοχλούμεναι —, ἠξίουν εὔξασθαι ὑπὲρ αὐτῶν· καί, σφραγίσας αὐτὰς τῷ σημείῳ τοῦ ζωηφόρου καὶ σωτηρίου σταυροῦ, ἰάσατο παραχρῆμα ...
G. Rossi Taibbi, o.c., 40^{648}-41^{655}: Πλεῖστοι γὰρ ὑπὸ δαιμόνων πάσχοντες προσερχόμενοι, τῇ εὐχῇ μόνῃ καὶ τῇ ἁφῇ τῆς χειρὸς αὐτοῦ τῆς ἐκείνων ἐνεργείας ἠλευθεροῦντο, οὐ μόνον ἄνδρες ἀλλὰ καὶ γυναῖκες· πλείους δὲ καὶ οἱ ἐν ἀρρωστίαις καὶ πηρώσεσι σώματος περιπίπτοντες, ἐπισκεπτόμενοι παρ' αὐτοῦ, τῆς σωτηρίας ἐτύγχανον, καὶ οἱ μὲν τὴν κεφαλὴν ἀλγοῦντες ἐθεραπεύοντο, οἱ δὲ τῶν κεχρυμμένων πόνων τὴν ἀπαλλαγὴν ἐκομίζοντο.
G. Rossi Taibbi, o.c., $31^{388-393}$: ... ὑπήντησεν αὐτῷ τις ... ἔχων δαιμόνιον, ὅς, ἰδὼν τὸν θεῖον ἄνδρα, πέπτωκε πρηνὴς καὶ ἀφρίζων ἐσπαράττετο. Ὁ δὲ ὅσιος, συμπαθήσας τῷ πάσχοντι ποιήσας τε ἐπ' αὐτοῦ τὸ σημεῖον τοῦ σταυροῦ, ἀπεκατέστησεν αὐτὸν ὑγιῆ, φυγαδεύσας ἀπ' αὐτοῦ τὸ δαιμόνιον.
G. Rossi Taibbi, o.c., 44^{767}-45^{768}:... τέσσαρας ἠλευθέρωσε τῆς δαιμονικῆς ἐνεργείας ψυχάς, ...

128-129 cfr. Matth. 6,20

Ἵνα τὰ μένοντα
γέρα, σοφέ, λήψῃ, Ἠλιοῦ,
σάρκα ἐνέκρωσας,
ψυχὴν ἐζώωσας,
ἀτροφίᾳ καὶ εὐχαῖς
ἀεὶ σχολάζων
θεραπεύων τε Θεὸν
ἰσαγγέλῳ σου πολιτεύματι.

θεοτ. Κόσμος ἠλέηται
διὰ τοῦ σοῦ, μῆτερ, τοκετοῦ·
πλάνην γὰρ ἔσβεσε
τῆς ἀθεότητος
καὶ κατηύγασε τὴν γῆν
θεογνωσίας
ταῖς ἀκτῖσι, στολισθεὶς
τῆς σαρκὸς τὴν αὐτοῦ εὐπρέπειαν.

ᾠδὴ ς'. *Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης*

Σὺ τοῖς τῆς ἀσκήσεως ἀγῶσι
βαρβαρικὰς αἰκίσεις
καὶ παλαίσματα, πάτερ, συμμίξας,
περιφανῶς
λάμπεις ἑκατέρωθεν
καὶ φωτίζεις τοὺς ὑμνοῦντάς σε.

Ἐξ ὕψους λαβών, Ἠλία, χάριν,
τυφλοῖς τὸ βλέπειν δίδως
καὶ χωλοῖς, σοφέ, τὴν εὐδρομίαν,
ἄλλα φρικτὰ
ἐνεργῶν ἐξαίσια
τῇ πρὸς κύριον ἐντεύξει σου.

132-133 Ἵνα ... λήψῃ cd.: cfr. PSALTES, 217; MITSAKIS 71, 138-139 heirm. ς' EE 96, n. 135, Joannis

---

132-139 G. ROSSI TAIBBI, o.c., $47^{843-847}$: ... τὸ πλεῖστον τῆς ἡμέρας καὶ τῆς νυκτός, πολλάκις δὲ καὶ ὅλην τὴν νύκτα, εἰς τὸ τῆς προσευχῆς ἔργον ἀνήλισκεν· ἔργον γὰρ ἦν αὐτῷ τῷ ὄντι ἡ τῆς ψυχῆς ἐπιμέλεια, αἱ δὲ τοῦ σώματος ἀνάγκαι πάρεργον...

Προλέγεις ὡς ἄριστος προφήτης
πόλεων τὰς ἁλώσεις
καὶ τὸ ἄφυκτον τῆς θείας δίκης,
τοὺς ἐν αὐταῖς
ἀπολοφυρόμενος
καὶ θρηνῶν εὐσυμπαθέστατα.

θεοτ. Ὅπλον στερρόν, ἄχραντε παρθένε,
τῶν σῶν γενοῦ προσφύγων
ἐφαπλοῦσά σου θείας ὠλένας,
αἷς σὸν υἱὸν
μητρικῶς ἐβάστασας,
καὶ ἡμᾶς διαφυλάττουσα.

Κοντάκιον.

⟨Ἦχος πλ. β'. ἰδιόμελον⟩

Τὴν ἐν πρεσβείαις
ἀκοίμητον θεοτόκον
....

κοντάκ. et οἶκ. (Ὑπὲρ ζωῆς cd. pro Ὕπνῳ ζωῆς) Anth III, ρϛε' indicatio ἦχ. κοντακ. om. cd.

160-162 G. ROSSI TAIBBI, o.c., $40^{634-638}$: Τὰς δὲ τῶν Ἀγαρηνῶν ἐφόδους καὶ πρὸ χρόνου ἐμήνυε τοῖς λαοῖς καὶ πότε νικῶσι καὶ πότε ἡττῶνται· τὰ δὲ τῆς Σικελίας πολίσματα καὶ πρὸ τῆς ἐκείνων ἐπ' αὐτοῖς ἐφόδου τῷ διορατικῷ ὄμματι προεῖδεν ἐρημωθέντα καὶ τοῖς ἀδελφοῖς διηγήσατο. Cfr. etiam pp. 20^{83-87}; $35^{501-512}$; $44^{761-763}$; $53^{1004-1014}$.

160-165 G. ROSSI TAIBBI, o.c., 47^{847}-48^{855}: ... καὶ ἡ ὑπὸ Βουλαμβὲς τοῦ Ἰσμαηλίτου γενομένη τοῦ Ῥηγίου ἅλωσις ἀπεκαλύφθη. Καὶ ὥσπερ ὁ προφήτης Ἰωνᾶς, πρὸς Θεοῦ τοῖς Νινευίταις ἀποσταλείς, τὴν ἐπηγγελμένην αὐτοῖς προεμήνυσεν ἀπειλήν, οὕτω καὶ οὗτος τοῖς ἐν Ῥηγίῳ· ἀλλ' οἱ μὲν Νινευῖται, τῇ μετανοίᾳ προφθάσαντες, τὴν ὀργὴν ἐξέφυγον, οἱ δὲ Ῥηγιῶται, τὰ ὦτα βύσαντες καὶ τὴν ὑπὸ τοῦ θείου πατρὸς κηρυττομένην αὐτοῖς μετάνοιαν μὴ προσηκάμενοι, τὰ κακὰ ἐφ' ἑαυτοῖς ἐπεσπάσαντο ...
G. ROSSI TAIBBI, o.c., $55^{1053-1061}$: Ὡς δὲ κατὰ μέσον ἐγεγόνει τοῦ ἄστεως... « πλημμύραν » φησὶν « αἱμάτων ἐνταῦθα βλέπω πολλήν. Ὁρᾷς δὲ ταύτας τὰς περιφανεῖς καὶ μεγάλας οἰκοδομάς; Ὑπὸ τῶν τῆς Ἄγαρ ἀπογόνων ἀναστραφήσονται ». Ταῦτα δὲ ἔλεγε φανερῶς, Ἱερεμίαν ἐκεῖνον μιμούμενος, ἐλέγχοντα τοὺς ἀπειθεῖς παρρησίᾳ καὶ τὴν αἰχμαλωσίαν αὐτῶν προμηνύοντα ...

⟨Ὁ οἶκος.⟩

Ὕπνῳ ζωῆς
μετέστης, Μαρία, γρηγοροῦσα τὸ ὄμμα
. . . .

90 ᾠδὴ ζ'. *Οὐκ ἐλάτρευσαν τῇ κτίσει οἱ θεόφρονες*

Ἀρετῆς τῆς σῆς τὸ μέγεθος, πανόλβιε,
γνοὺς εὐσεβὴς βασιλεύς,
πρὸς ἑαυτόν σε καλεῖ
ἐκ πίστεως ἄκοντα,
ἀλλ' ἐν ὁδῷ πρὸς Θεὸν
τὸν παντάνακτα
ἀνέπτης, καθὼς προὔλεγες,
μελῳδῶν· « εὐλογητὸς εἶ ».

Ἰδοὺ βαδίζων, θεόληπτε, ὀχήμασι
τοῖς βασιλείοις ἐγγὺς
πρὸς τὸν δεσπότην σου,
καθάπερ ἐν ἅρματι

---

heirm. ζ' EE 100, n. 141, Joannis

172-175 G. Rossi Taibbi, o.c., $69^{1438-1450}$: . . . ἰδού τις βασιλικὸς ἐπέστη τῷ μοναστηρίῳ πρὸς τὸ μετὰ πολλῆς τιμῆς καὶ σεβάσματος τὸν θεοφόρον Ἠλίαν ἐπαγαγεῖν πρὸς τὸν βασιλέα . . . Ὃς . . . ἀπέδωκεν αὐτῷ τοῦ βασιλέως τὰ γράμματα. Ὁ δὲ λαβὼν καὶ ἀναγνούς· « τί πρὸς ἐμὲ » ἔφη « τὸν ταπεινὸν ὁ βασιλεὺς ἀπέστειλε γέροντα . . . ἵν' ἴδῃς μοναχὸν ἔχοντα μεῖζον τῶν ἔργων τὸ ὄνομα; Πλήν, ἐπείπερ ὁ Θεὸς οὕτως ηὐδόκησεν, καταφρονῶ καὶ τοῦ γήρους, ὑπερορῶ καὶ τῆς ἀσθενείας καὶ κατατολμῶ τῆς ὁδοῦ . . . ».

176-178 G. Rossi Taibbi, o.c., 72^{1528}-73^{1553}: . . . καλέσας τὸν συνόντα αὐτῷ μαθητὴν καὶ ἀδελφόν, ἔλεγε πρὸς αὐτόν· « τέκνον Δανιήλ, ἐγὼ μέν, ὡς γέγραπται, τὴν ὁδὸν τῶν πατέρων μου πορεύομαι· καιρὸς γάρ ἐστι . . . ἀναλῦσαί με· εἰμὶ γὰρ ἐτῶν ὀγδοήκοντα . . . Καὶ λοιπόν, τέκνον, σῴζου· ὁ γὰρ Ἠλίας μεταβαίνει καὶ οὐκέτι ἐν τῷ κόσμῳ τούτῳ ἐστίν ». Ταῦτα εἰπών, . . . ἱλαρῷ τῷ προσώπῳ ἐξέλιπε.

178 G. Rossi Taibbi, o.c., $69^{1454-1456}$: . . . εἶπε δὲ τῷ Δανιὴλ κατ' ἰδίαν· « μόνον τὴν ὁδὸν ἀνύομεν, τέκνον· οὔτε γὰρ ἐμὲ ὁ βασιλεὺς ὄψεται, οὔτε ἐκεῖνον ἐγώ . . . ».

183-186 IV Regn. 2,11; Sir. 48,9

οὐρανοδρόμῳ, σοφέ,
ἀνελήλυθας,
ὡς ὁ Θεσβίτης πρότερον,
μελῳδῶν· « εὐλογητὸς εἶ ».

Νεκρὸς σώματι καὶ ζῶν, πάτερ, τῷ πνεύματι,
τῶν φοιτητῶν ταῖς χερσὶ
τῇ παροικίᾳ τῇ σῇ
ὡς ὄλβος πολύτιμος
ἀνακεκόμισαι
τοῖς κραυγάζουσιν·
« εὐλογητὸς εἶ, κύριε
ὁ Θεός, εἰς τοὺς αἰῶνας ».

Οἱ καθορῶντες τὸ σκῆνός σου, θεόπνευστε,
θάμβους ἐμπίπλανται·
διαφυλάττεται γὰρ
ἅπαν ἀδιάλυτον
ἐν χρόνοις πλείοσι,
προτρεπόμενον
τοῦ μελῳδεῖν τῷ πλάσαντι·
« ὁ Θεός, εὐλογητὸς εἶ ».

θεοτ. Πύλην προεῖπεν ὁ βλέπων κεκλεισμένην σε
τὴν ἀειπάρθενον·
φησὶ γάρ· « κάθηται

188-193 G. Rossi Taibbi, o.c., $74^{1591-1599}$: . . . Γεώργιος . . . Καλαβρὸς . . . τῷ γένει, . . . ἐπιστὰς τῷ τῶν Καμίνων τόπῳ καὶ ἄρας τὸ τίμιον λείψανον, διήρχετο τὰς ἐπαρχίας ἀμοιβαδόν, Θεσσαλίαν, Ἑλλάδα καὶ Θεσπρωτίαν μέχρι Βοθρωτοῦ. Ἐκεῖθέν τε ἀναχθεὶς ἐν πλοίῳ καὶ αἰσίως πλεύσας, τῇ Ῥουσιανῶν ἐπέστη πολίχνῃ καὶ πεζοπορήσας τὸ Βησιννιάνου καταλαμβάνει κάστρον.

G. Rossi Taibbi, o.c., $75^{1607-1613}$: Ἐκεῖθεν Δανιὴλ προλαβών, παραγίνεται ἐν Σαλίναις, μηνύσων τὴν ἀνακόμισιν τοῦ ὁσίου τοῖς ἀδελφοῖς. Οἱ καὶ μαθόντες, . . . ὑπήντησαν αὐτῷ ἐν Ταυριάνῃ μετὰ τῆς πρεπούσης τιμῆς καὶ οὕτως εἰς τὴν μονὴν ἤγαγον.

196-200 G. Rossi Taibbi, o.c., $73^{1570-1572}$: . . . εὗρον αὐτὸ σῶον καὶ ὁλόκληρον καὶ μηδόλως μείωσιν ἔχον· ἡ δὲ τοῦ μύρου εὐωδία ἐπλήρωσε τὸν χῶρον ἐκεῖνον ἅπαντα.

G. Rossi Taibbi, o.c., $75^{1613-1617}$: Πολλὴ δὲ σύνοδος λαῶν κατ' αὐτὴν τὴν ἡμέραν τῆς καταθέσεως γέγονε, καθ' ἣν ἀνοίξαντες τὸ γλωσσόκομον, εὗρον τὸν ἅγιον σῶον, ὥσπερ κοιμώμενον, ὑπὲρ πάντων ὀσμὴν ἀρωμάτων εὐωδίαν ἐκπέμποντα.

---

188 cfr. Apoc. 1,18   204-208 Ez. 44,1-3

ἐπὶ ταύτῃ κύριος
ἄρτον φαγεῖν προσδοκῶν»,
ἣν προσείληφε
σάρκα, σώζων τοὺς μέλποντας·
« ὁ Θεός, εὐλογητὸς εἶ ».

ᾠδὴ η'. *Λυτρωτὰ τοῦ παντὸς παντοδύναμε,*

Ἱεραῖς συνελθόντες τιμῶμέν σε
μελῳδίαις, τοὺς πόνους κροτοῦντές σου
τῆς θαυμαστῆς ἀσκήσεως,
τῶν στιγμάτων τὰ νέφη,
ἀναβοῶντες·
« εὐλογεῖτε, ὑμνεῖτε τὸν κύριον ».

Σὺ καὶ τάφῳ σκηνῶν, οἷα ζῶν ἐν σαρκὶ
90ʳ τὰ μυρία || τελεῖς, πάτερ, θαύματα
καὶ τὴν χαμαὶ συγκύπτουσαν
ἀνορθοῖς ἐκβοῶσαν·
« πάντα τὰ ἔργα
εὐλογεῖτε, ὑμνεῖτε τὸν κύριον ».

Ἡ ἑσπέριος λῆξις ὡς ἥλιον
σὲ λαμπρῶς εὐτυχοῦσα φαιδρύνεται
ἀπωθουμένη βάρβαρα
σῶν λιτῶν φωτὶ νέφη
καὶ μελῳδοῦσα·
« εὐλογεῖτε, ὑμνεῖτε τὸν κύριον ».

αδ. Ἰσουργὸν τὸν υἱὸν τῷ γεννήτορι
καὶ τὸ πνεῦμα ὑμνῶ τὸ συνάναρχον,
τρισσολαμποῦσαν δύναμιν,

heirm. η' EE 96, n. 135, Joannis 221 ἐκβοῶσα

218-219 G. Rossi Taibbi, o.c., 75[1618-1625]: Πολλοὶ δὲ τῶν ἐχόντων πνεύματα ἀκάθαρτα, προσερχόμενοι καὶ προσψαύοντες τῷ ἁγίῳ λειψάνῳ, τῆς ἐκείνων βλάβης ἠλευθεροῦντο καὶ ἐγίνοντο ὑγιεῖς. Πολλοὶ δὲ καὶ ἄρρωστοι καὶ τοὺς ὀφθαλμοὺς ἀλγοῦντες καὶ τὰς κεφαλάς, ... προσιόντες, ἐθεραπεύοντο· καὶ μέχρι τῆς δεῦρο καὶ δωρεὰς τῶν ἰαμάτων τοῖς μετὰ πίστεως προσερχομένοις παρέχον οὐ λήγει.

ἀστραπὴν ἑνιαίαν
τὸ πᾶν φρουροῦσαν
καὶ συνέχουσαν κράτει θεότητος.

θεοτ. Ὁ πατρὶ καὶ τῷ πνεύματι σύνθρονος
ἐκ σοῦ σάρκα λαβὼν καθ' ὑπόστασιν,
διπλοῦς τῇ φύσει πρόεισι
τοὺς πιστῶς μελῳδοῦντας
σώζων, παρθένε·
« εὐλογεῖτε, ὑμνεῖτε τὸν κύριον ».

ᾠδὴ θ'. *Κρυπτόν, θεῖον, ἄχραντον*
ἐν σοὶ τελεῖται

Λύχνος ἀναπέφηνας
λαμπρῶς ἀστράπτων
δυτικὴν κατήφειαν,
Ἠλία πάντιμε,
ἀνατολῆς
ἡλίου φαιδρότερον
καὶ ἀπελαύνων
συμφορῶν πολλῶν ὁμίχλην ταῖς πρεσβείαις σου.

Ἰθύνων ἐπόπτευε
τὰ σά, παμμάκαρ,
τέκνα νῦν σοι ᾄδοντα
πιστῶς τὰ ᾄσματα,
τὸν ἱερὸν
κηρύττοντα βίον σου,
τὴν πολιτείαν
καὶ πληγὰς τὰς τῶν βαρβάρων καὶ τὰ θαύματα

Ἀνέπτης πρὸς ἄφθαρτα,
φύσεως νόμῳ
γῆθεν μεθιστάμενος,
θεῖα βασίλεια
ἀντὶ φθαρτῶν,

heirm. θ' EE 96, n. 135, Joannis

τὸν μόνον ἀθάνατον
παμβασιλέα
ὁρῶν καὶ μετὰ ἀγγέλων διαιτώμενος.

Νῦν ἡμᾶς ἐπόπτευε
τοὺς σοὺς οἰκέτας,
πρυτανεύων ἄνωθεν
πταισμάτων ἄφεσιν,
βαρβαρικὰς
ὁρμὰς ἀποδίωξον
καὶ τὴν σὴν ποίμνην
φυλάττοις τῶν ψυχοφθόρων βελῶν ἄτρωτον.

στ. Σκέ⟨πασον⟩ τοὺς δούλους σου,
τὰς περιστάσεις
91 ‖ τὰς κυκλούσας πράυνον
καὶ θραῦσον, δέσποινα,
τὰ πονηρὰ
τῆς Ἄγαρ γεννήματα,
τοῖς βασιλεῦσι
τὴν τούτων ὀφρὺν λιταῖς σου ὑποκλίνουσα.

---

274 Σκέ⟨πασον⟩: duae extremae syllabae in cd. difficiles lectu

IN SANCTUM ELIAM SICULUM VEL JUNIOREM

Vat. gr. 2110 = Vc, ff. 28-31
Vat. gr. 2069 = Vb, ff. 252ᵛ-254

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Ἠλία, σώζοις τὸν σὸν ὑμνῳδὸν βλάβης.

Ἦχος πλ. β'.

ᾠδὴ α'. *Ὡς ἐν ἠπείρῳ πεζεύσας*

Ἡλιακαῖς λαμπηδόσι
τῶν ἀρετῶν
ἀπαστράπτων, ὅσιε,
τοὺς τὴν μνήμην σου φαιδρῶς
ἐκτελοῦντας αἴτησαι ταῖς σαῖς
ἱκεσίαις, Ἠλιού,
καταλαμπρύνεσθαι.

Λόγος ὁ πάντα γινώσκων,
καθὰ Θεός,

---

tit. Ἕτερον κανῶν τοῦ ὁσίου ἠλιοὺ φέρων ἀκροστιχίδα ... Vb litterae initiales θεοτ. et τριαδ. (odes η') absunt ab acrostichide heirm. α' EE 159, n. 224, Joannis 5 ἐκτελοῦσιν cdd. 9 καθὰ] καὶ Vb

---

1-3 G. Rossi Taibbi, o.c., 18^{43}-19^{44}: ... Ἠλίας, ὁ τῷ κόσμῳ λάμψας τοῖς θαύμασι καὶ ταῖς ἀρεταῖς φωτίζων ....
8-12 G. Rossi Taibbi, o.c., 19^{49-52}: ... ὃν τεχθέντα ἡ μήτηρ Ἰωάννην ὠνόμασεν, ἵνα καὶ ἐν τούτῳ δειχθῇ ὅτι, ὥσπερ ἐγένετο τῷ Προδρόμῳ ὁμώνυμος καὶ χάριτος μεγίστης ἐκ βρέφους κατηξιώθη, ...
G. Rossi Taibbi, o.c., 19^{62-64}: ... ὡς πάλαι τῷ Σαμουήλ, προγνοὺς ἐκ μήτρας αὐτὸν καὶ ἁγιάσας ἐκ βρέφους, Ἱερεμίαν ὡς ὕστερον.

8-9 cfr. I Cor. 3,20

καὶ πρὸ τῆς γενέσεως
ἐκ νηδύος μητρικῆς
σὲ προγνούς, ἡγίασε, σοφέ,
καὶ θαυμάτων δωρεαῖς
πολλῶν ἐπλούτισεν.

Ἴθυται νῦν ἡ καρδία
πρὸς οὐρανόν·
κεκτημένος γέγονας
μετὰ σώματος ἐν γῇ
ὑπὲρ φύσιν ἄγγελος, Θεῷ
παριστάμενος τῷ νῷ,
Ἠλιού, πάντοτε.

θεοτ. * Τὸν ἑαυτῆς δεξαμένη
δημιουργόν,
ὡς αὐτὸς ἠθέλησεν,
ἐξ ἀσπόρου σου γαστρὸς
ὑπὲρ νοῦν σαρκούμενον, ἁγνή,
τῶν κτισμάτων ἀληθῶς
ἐδείχθης δέσποινα.

ᾠδὴ γ΄. *Οὐκ ἔστιν ἅγιος ὡς σύ,*
κύριε ὁ Θεός μου,

Ἀλήκτῳ δρόμῳ τὴν στενὴν
ὄντως καὶ τεθλιμμένην

---

14 ἐπλούτησεν Vc 15 τὴν καρδίαν cdd. 22-28 θεοτ., quod usque ad v. 24 profert Vc, PaR 458; AHG X, 74; cfr. etiam in hoc volumine canonem XXVII, 29-35
heirm. γ΄ EE 159, n. 224, Joannis

17-19 G. Rossi Taibbi, o.c., 19[46-47]: ... ὁ ἐπίγειος ἄγγελος καὶ οὐράνιος ἄνθρωπος ...

29-30 cfr. Matth. 7,13-14

ἐπὶ ξένης ὁδεύων,
θεόφρον πάτερ, ὁδοῦ,
πλατύ τε καὶ θαυμαστὸν
καὶ φωσφόρον
εὗρες τὸ κατάλυμα.

Σωφρόνως πάσας κυβερνῶν,
Ἠλιού, τὰς αἰσθήσεις,
f. 28v || ὁ δρυμὸς τῷ πολέμῳ
ἐλήφθης τῷ πρὸς αὐτάς,
ἀλλ᾽ ὤφθης τῶν τοῦ ἐχθροῦ
δυσκαθέκτων
μηχανῶν ἀνάλωτος.

Ὡς λίαν πόθος σου θερμὸς
ὁ πρὸς κύριον, μάκαρ,
ὃν διψῶν ἐξεζήτεις
ἐλάφου δίκην σφοδρῶς
διψῶντος καὶ πρὸς πηγὰς
τῶν ὑδάτων
ἀνενδότως τρέχοντος.

θεοτ. * Τοῦ θείου τόκου σου, ἁγνή,
πᾶσαν φύσεως τάξιν
ὑπερβαίνει τὸ θαῦμα·
Θεὸν γὰρ ὑπερφυῶς
συνέλαβες ἐν γαστρὶ
καὶ τεκοῦσα
μένεις ἀειπάρθενος.

---

36 ⟨πάσα⟩ς: verbum difficile lectu in Vc 50-56 θεοτ., cuius tant[i] duos primos versus Vc tradit, PaR 459; cfr. etiam in hoc volumine ca[no]nem XXVII, 64-70 51 πᾶσα Vc τάξις Vc
post oden γ΄ in Vb legitur: Κάθισμα ἦχος α΄. Ὁ βίος σου λαμπρός, ζ[...] εἰς κανόνα ὁσίου εἰς ἀπόδειπνον εἰς γ΄ ᾠδὴν

43-49 cfr. Ps. 41,1-2

ᾠδὴ δʹ. *Χριστός μου δύναμις*

Ζηλώσας, ὅσιε,
φρενὶ εὐγνώμονι
τῶν πατέρων τοὺς βίους,
πᾶσαν αὐτῶν
ἀρετὴν συνήγαγες
εἰς ἑαυτὸν ὡς νουνεχὴς
ὄντως ἔμπορος καὶ φρόνιμος.

Ὁδηγὸς εὔσημος
ὁ ζῆλος ἔνθεος,
ὑψηλὸς καὶ ὁ βίος
καὶ τὰ φρικτὰ
ὑπὲρ λόγον θαύματα
σοῦ, θεοφόρε Ἠλιού·
διὰ τοῦτο σὲ γεραίρομεν.

Ἰσχύι πνεύματος
τοῦ θείου, πάνσοφε,
τὰς δεινὰς παρατάξεις
τοῦ δυσμενοῦς
κατὰ κράτος ὤλεσας
ἀπεριτείχιστον ψυχῆς
σοῦ φυλάττων τὸ ὀχύρωμα.

---

heirm. δʹ EE 159, n. 224, Joannis 62 νυνεχεῖς Vc 70 γεραίρωμεν cdd. 75 κράτους cdd. 76 ἀπεριτείχιστον] ἀπεριτύπιτον cdd.

57-63 G. Rossi Taibbi, o.c., 31[377-384]: ... τὴν ἑκάστου τῶν πατέρων ἀνίχνευε πολιτείαν καὶ τὸ τῆς σπουδῆς πλεονέκτημα καὶ τοῦ μὲν τὸ χαρίεν, τοῦ δὲ τὸ πρὸς τὰς εὐχὰς σύντονον διεσκόπει, ἄλλου τὸ ἀόργητον, ἑτέρου τὸ φιλάνθρωπον· καὶ πάντων ὁμοῦ τὴν εἰς Χριστὸν εὐσέβειαν καὶ τὴν πρὸς ἀλλήλους ἀγάπην καὶ συμφωνίαν κατεμάνθανε, τὴν πραότητα, τὴν μακροθυμίαν, τὰς ἀγρυπνίας, τὰς χαμευνίας, τὴν ἐγκράτειαν. Ταῦτα πάντα συνάξας εἰς ἑαυτόν, ἐσπούδαζεν ἐν ἑαυτῷ τὰ πάντα δεικνύναι ...

Σοφίας ὄργανον
ὑπάρχων, ὅσιε,
διελέγχεις εὐτόνως
καὶ ἀρινῶν
δόγμα τὸ ψυχόλεθρον
καὶ τοὺς τῆς πλάνης ἐραστὰς
ὁδηγεῖς πρὸς τὴν ἀλήθειαν.

θεοτ. * Ὡς ὄντως ἄφθεγκτα
καὶ ἀκατάληπτα
τὰ τῆς σῆς, θεοτόκε,
θεοπρεποῦς
πέφυκε κυήσεως
τοῖς ἐπὶ γῆς καὶ οὐρανοῦ,
ἀειπάρθενε, μυστήρια.

ᾠδὴ εʹ. *Τῷ θείῳ φέγγει σου, ἀγαθέ,*

Τῷ θείῳ φέγγει σου, ἀγαθέ,
τὴν ἀμαυρωθεῖσάν μου ψυχὴν
τῆς ἁμαρτίας ῥιπίσμασι
φώτισον πρεσβείαις ταῖς τοῦ ὁσίου σου,
ὡς μόνος ἐλεήμων
καὶ εὐδιάλλακτος.

f. 29 ‖ Ὁρῶντες ἅπαντες οἱ πιστοὶ
λάμπον τῶν ἀγώνων σου τὸ φῶς
ἐπὶ τῆς γῆς ὑπὲρ ἥλιον,
ὕμνοις τὸν πατέρα τὸν ἐπουράνιον
δοξάζομεν, Ἠλία
θεομακάριστε.

---

81 ἀρινῶν pro ἀρειανῶν metri causa? 85-91 θεοτ., cuius textur usque ad v. 86 Vc refert, PaR 460; AHG X, 55; cfr. etiam in hoc volumine canonem XXVII, 92-98
heirm. εʹ EE 159, n. 224, Joannis 94 ῥυπίσμασιν cdd.

78-84 G. Rossi Taibbi, o .c., 33[143]-34[466]: « ... Ἡ δὲ ὑμετέρα τῶν Ἰσμαηλιτῶ θρησκεία ἐκ διαφόρων αἱρέσεων ἔχει τὴν σύστασιν· καὶ γὰρ τῷ ἀγεννήτῳ μόνῳ περι γράφοντες τὴν θεότητα ἀρειανίζετε ... ». Ταῦτα τοῦ ὁσίου εἰπόντος, κατηνύγησαν ο βάρβαροι καὶ ἠξίουν αὐτὸν δοῦναι αὐτοῖς τὸ λουτρὸν τῆς οὐρανίου χάριτος.

Νεκρώσας φρόνημα τῆς σαρκὸς
καὶ τὸ τῆς ψυχῆς θεοειδὲς
τηρήσας, μάκαρ, ἀλώβητον,
βλέπειν ἠξιώθης τὰ γενησόμενα
προλέγειν ἀψευδῶς τε
τὰ συμβησόμενα.

Σταυρὸν ἐπ' ὤμων ἀναλαβών,
πάτερ, τοῦ κυρίου σου,
σάρκα προθύμως ἐσταύρωσας,
Παῦλος ὅπερ ἔφη, σὺν τοῖς παθήμασι
καὶ ταῖς ἐπιθυμίαις
Θεοῦ φρονήματι.

θεοτ. * Τοὺς θεοτόκον σε ἐκ ψυχῆς,
δέσποινα τοῦ κόσμου ἀγαθή,
ὁμολογοῦντας διάσωσον·
σὲ γὰρ προστασίαν ἀκαταμάχητον
κεκτήμεθα, τὴν ὄντως
θεογεννήτριαν.

ᾠδὴ ϛ'. *Τοῦ βίου τὴν θάλασσαν*

Ὁ βίος σου γέγονε
φωτισμὸς τοῖς ἐν νυκτὶ
τοῦ βίου, πάτερ ὅσιε,
διαπορευομένοις καὶ ὁδηγὸς
πρὸς τρίβον οὐράνιον
καὶ ζωῆς αἰωνίου
πρὸς κατάσχεσιν.

---

109 τὰ συβησόμενα Vc τὰς μησόμενα Vb 115 θεοφρονήματι cdd. 116-121 θεοτ., cuius tantum duos primos versus Vc tradit, PaR 461; AHG X, 56; cfr. etiam in hoc volumine canonem XXVII, 111-114
heirm. ϛ' EE 159, n. 224, Joannis 128 κατάσκεσιν Vb

104-106 cfr. notas ad canonem XV, vv. 14-16.
107-109 cfr. notas ad canonem XV, vv. 17-24 et vv. 160-162.

---

104 Rom. 8,6 110-111 cfr. Marc. 8,34 112-114 Gal. 5,24

Ναὸς θείου πνεύματος
ἀνεδείχθης λογικός,
Ἠλία, πάτερ ὅσιε,
τῇ καρδίᾳ γενόμενος καθαρός·
διὸ καὶ ἠξίωσαι
ὁμιλεῖν τῆς τριάδος
τῷ δεσπότῃ σου.

Ὑπέρμαχος ἄριστος
σοῦ τῆς ποίμνης πεφυκὼς
καὶ ὁδηγὸς σωτήριος,
ὑπερμαχεῖν μὴ παύσῃ ταύτῃ ἀεί,
Ἠλία θεσπέσιε,
προϊστάμενος νόμῳ
ἀγαπήσεως.

θεοτ. * Ἡ πάναγνος δέσποινα,
ἡ τεκοῦσα τοῖς βροτοῖς
τὸν κυβερνήτην κύριον,
τῶν παθῶν μου τὸν ἄστατον καὶ δεινὸν
κατεύνασον τάραχον
καὶ γαλήνην παράσχου
τῇ καρδίᾳ μου.

143-149 θεοτ., quod usque ad v. 144 Vc refert, PaR 462; AHG X, 58 cfr. etiam in hoc volumine canonem XXVII, 133-138 147 κατεύνασας Vl
post oden ϛ' Vb tradit:

Κοντάκιον.
Ἦχος β'. *Τὰ ἄνω ζητῶν*

Τὰ κάτω λιπών,
τὰ ἄνω ἐπεπόθησας
καὶ τὰς ἀρετὰς
συζεύξας, ὥσπερ τέθριππος, Ἠλιού πανόλβιε,
ὡς πάλαι Θεσβίτης ἀνέδραμες (IV Regn. 2,11)
πρὸς Χριστὸν τὸν σὸν πλαστουργόν,
πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

Ὁ οἶκος. *Τράνωσόν μου*

Ὤφθης ἐν γῇ
βίον ἀσώματον
ἐνδεικνύμενος, μάκαρ,
καὶ σαρκὸς ταπεινῶν
τὸ φρόνημα τῇ ἀσκήσει σου, (cfr. Rom. 8,6)

129-130 cfr. I Cor. 6,19

ᾠδὴ ζ'. *Δροσοβόλον μὲν τὴν κάμινον εἰργάσατο*

Μακαρίως σου τὸν βίον διετέλεσας,
30 Ἠλία θαυμα‖στότατε·
ὅθεν ἔτυχες
μακαρίου λήξεως, χοροῖς
ἁγίων διαχαίρων καὶ βοῶν·
« εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

Νυσταγμὸν τοῖς σοῖς βλεφάροις οὐκ ἀπένειμες,
οὐχ ὕπνον σοῦ τοῖς ὄμμασιν,
ἕως οὗ εὗρες
τόπον ἀναπαύσεως, ἐν ᾧ
χορεύεις, μακάριε, βοῶν·
« εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

Ὡς ἀέναον πηγήν σε, πάτερ ὅσιε,
τῶν ἰαμάτων ἔχοντες,
ἀρυόμεθα

νηστείαις σχολάζων
καὶ ὑμνῳδίαις
καὶ ψυχήν σου κατάρδων
ῥείθροις δακρύων·
ὅθεν δειχθεὶς
ἀρεταῖς πολυτρόποις κατάκομον (κατακομῶν cd.)
ὡς δένδρον, κατεφυτεύθης
ἐν Ἐδὲμ τῆς τρυφῆς, παναοίδιμε, (cfr. Gen. 2,8-9)
πρὸς μόνου (μόνον cd.) τοῦ κτίστου σου
τῶν σῶν ἔργων λαβὼν τὴν ἀντίδοσιν,
πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

heirm. ζ' EE 159, n. 224, Joannis   150 Μακαρίω σου Vb   156. 170 vv. detruncat Vc   162-163, 176-177 vv. varie intermittunt cdd.

157-158 G. Rossi Taibbi, o.c., $42^{687-688}$: ... σύναξις, ἡ πάννυχος στάσις ... G. Rossi Taibbi, o.c., $47^{844-845}$: ... πολλάκις δὲ καὶ ὅλην τὴν νύκτα εἰς τὸ τῆς προσευχῆς ἔργον ἀνήλισκεν ...

157-160 cfr. Ps. 131,4-5

τὰς εὐεργεσίας δαψιλῶς
καὶ χαίροντες μέλπομεν Χριστῷ·
« εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

Δὸς ἡμῖν, Χριστέ, βοήθειαν ἐκ θλίψεως
πρεσβείαις τοῦ ὁσίου σου
καὶ κατάβαλε
ὁρατοὺς ἐχθροὺς καὶ νοητοὺς
καὶ σῶσον βοῶντάς σοι ἡμᾶς·
« εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν »

⟨τριαδ.⟩ * Τὴν βασιλίδα καὶ πάντων κυριεύουσαν
φύσιν τὴν τρισυπόστατον,
ἀγαθότητος
καὶ ἀπείρου πέλαγος φωτὸς
ὑμνοῦντες, βοήσωμεν, πιστοί·
« εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

ᾠδὴ η'. *Ἐκ φλογὸς τοῖς ὁσίοις*
δρόσον ἐπήγασας

Ὁ βυθὸς τῶν θαυμάτων
τῶν σῶν, μακάριε,
τὴν πληθὺν τῶν δαιμόνων
πᾶσαν κατέκλυσε
καὶ τῆς χαλεπῆς
τούτων βλάβης ἐρρύσατο
τοὺς ὑπερυψοῦντας
Χριστὸν εἰς τοὺς αἰῶνας.

---

168 μέλπωμεν cdd.   178-184 τριαδ., quod usque ad v. 179 Vc profert, Pent σιθ'; idem, quod ut θεοτ. perperam referunt cdd., cfr. in AHG X, 59 et in hoc volumine canonem XXVII, 160-166
heirm. η' EE 159, n. 224, Joannis   192 αἰῶνας om. Vc

185-192 cfr. notas ad canonem XV, vv. 118-123

Νοητήν σε λυχνίαν
πάντες γινώσκομεν
καταυγάζουσαν, πάτερ
θεομακάριστε,
τὰ κατὰ Θεὸν
τῶν πιστῶν διαβήματα
τῶν ὑπερυψούντων
Χριστὸν εἰς τοὺς αἰῶνας.

Βασιλείας τῆς ἄνω
ποθήσας, ὅσιε,
τὴν λαμπρότητα, κόσμου
δόξαν ἠλόγησας
καὶ τῶν ἀρετῶν
τῷ τεθρίππῳ σαφῶς ἐπιβάς,
πάτερ, ὡς Ἠλίας
ἀνῆλθες ἐν ὑψίστοις.

30v || Λελοιπώς σου τὸ σῶμα
τὸ τιμιώτατον
μηλωτὴν ὥσπερ ἄλλην
τοῖς φοιτηταῖς σου ἡμῖν
πᾶσιν, δι᾽ αὐτοῦ
ἀναβλύζεις ἰάματα
τοῖς ὑπερυψοῦσιν
Χριστὸν εἰς τοὺς αἰῶνας.

αδ. * Μίαν φύσιν τριάδος
ἀπειροδύναμον,
ὑπερβαίνουσαν χρόνου

---

194 γινώσκωμεν Vc 195 καταυγάζουσαν] καυγάζουσαν Vc κραυγάζουσαν Vb 198 τῶν iteratum in Vb 205 καὶ] τοὺς Vb 209 Λελοπώς cdd. 210 τημότατον Vb, in Vc autem verbum difficile lectu 211 μηλωτὴν in Vc non legitur 213 πᾶσιν in Vc difficile lectu πᾶσαν Vb 217-224 τριαδ. AHG X, 60

209-213 G. Rossi Taibbi, o.c., 75[1625-1626]: Καὶ οἱ αὐτοὶ δὲ ἀδελφοὶ κατέχοντες αὐτοῦ τοῦ νέου Ἠλιού, ὡς ἄλλην μηλωτήν, τὸ σεβάσμιον λείψανον...
213-216 cfr. notas ad canonem XV, vv. 218-219.

205-208 cfr. IV Regn. 2,11 209-211 cfr. IV Regn. 2,13

πάντως καὶ φύσεως
ἔννοιαν ἀεί,
ὀρθοδόξως δοξάζομεν
καὶ ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

θεοτ. * Ἐκ φωτὸς φωτοδότην
Λόγον συνέλαβες
καὶ τεκοῦσα ἀφράστως
τὸν ὑπερούσιον·
πνεῦμα γὰρ ἐν σοί,
κόρη, θεῖον ἐσκήνωσεν,
ὃν ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ΄. *Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον*

Αὐτοῦ τὸ ὄντως ἐρασμιώτατον
τῶν ὀρεκτῶν
σαφῶς καταλαβὼν τὸ ἀκρότατον,
οὗ ἐν σοὶ τὰς ἐμφάσεις ἐκέκτησο,
χαίροις, τὰς ἀντιδόσεις,
πάτερ, τῶν πόνων σου
νῦν ἐπαπολαύων ἐν φωτί,
θεομακάριστε.

Βοᾷ ἡ ποίμνη σου χαριστήριον,
πάτερ, ᾠδὴν
ταῖς θείαις σωζομένη πρεσβείαις σου·
« μεγαλύνει ὑμνοῦσα τὸν κύριον
πάντοτε ἡ ψυχή μου,
ὅτι ἐπέβλεψεν

---

220 παντὸς AHG 222 δοξάζωμεν Vc κηρύττομεν AHG 224.232 post πάντας cetera om. Vc 225-232 θεοτ. MR VI, 510; cfr. etiam in hoc volumine p. 326 (app. crit.) 227 τεκοῦσα pro ἔτεκες: cfr. Mitsakis, 160-161 v. 228 τοῦτον δεδόξασαι MR
heirm. θ΄ EE 159, n. 224, Joannis

244-248 Luc. 1,46-48

ἐπὶ τὴν ἐμὴν ὡς ἀγαθὸς
Θεὸς ταπείνωσιν ».

Ἡ σὴ σεβάσμιος θήκη, πάντοτε
παντοδαπὰ
χαρίσματα θαυμάτων πηγάζουσα,
ἁγιάζει λαὸν τὸν χριστεπώνυμον,
ἣν νῦν περικυκλοῦντες
καὶ ἀσπαζόμενοι,
πάτερ θεοφόρε Ἠλιού,
σὲ μακαρίζομεν.

Σωτὴρ ὑπάρχων τοῦ κόσμου, κύριε,
σῶσον ἡμᾶς,
31 οὓς ‖ ἔπλασας χειρί σου, δεόμεθα,
τὴν εἰρήνην τῷ κόσμῳ σου δώρησαι,
νίκας κατὰ βαρβάρων
τῷ βασιλεῖ ἡμῶν
ταῖς τοῦ πανευφήμου Ἠλιοὺ
σεπταῖς δεήσεσιν.

εοτ. * Νεκροῖς ἀνάστασις νῦν δεδώρηται
διὰ τῆς σῆς
ἀφράστου καὶ ἀρρήτου σαρκώσεως,
θεοτόκε πάνσεμνε· ζωὴ γὰρ ἐκ σοῦ
σάρκα περικειμένη
πᾶσιν ἐξέλαμψε
καὶ τὸ τοῦ θανάτου ἀμειδὲς
σαφῶς διέλυσεν.

---

248 Θεὸς] ὁ θεὸς Vb 254 καὶ om. Vb 265-272 θεοτ. PaR 466; AHG X, 85; cfr. etiam in hoc volumine canonem XXVII, 206-212 267 σαρκώσεως] κυήσεως PaR AHG 268 πάνσεπτε AHG 269 περικείμενος cdd.

249-252 cfr. notas ad canonem XV, vv. 218-219.

IN SS. FLORUM ET LAURUM MARTYRES

Synaxarium, 907-908: Ἄθλησις τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων Φλώρου καὶ Λαύρου. Οὗτοι οἱ ἅγιοι ἀδελφοὶ ὑπῆρχον δίδυμοι, λιθοξόοι τὴν τέχνην, ἣν ἐπαιδεύθησαν ὑπὸ Πρόκλου καὶ Μαξίμου. Μετὰ δὲ τὴν τῶν διδασκάλων ὑπὲρ Χριστοῦ μαρτυρίαν, καταλιπόντες τὰς ἐν Βυζαντίῳ διατριβάς, παρεγένοντο ἐν τῷ Ἰλλυρικῷ ἐν χώρᾳ τῆς Δαρδανίας ἐν πόλει Οὐλπιανῶν, ἔνθα παρὰ Λυκίωνι τῷ ἡγεμόνι μέταλλά τινα διερευνῶντες τὴν οἰκείαν τέχνην εἰργάζοντο. Εἶτα παρ' αὐτοῦ ἀποστέλλονται πρὸς Λικίνιον, τὸν υἱὸν Ἐλπιδίας τῆς βασιλίσσης. Οἷς ὁ Λικίνιος παρέσχετο χρήματα καὶ τὴν διὰ χειρῶν βοήθειαν καὶ ἐκέλευσεν αὐτοῖς ἀνεγεῖραι τοῖς εἰδώλοις ναόν, τυπώσας αὐτὸν καὶ διαγράψας ἐν σχήματι. Οἱ δὲ ἅγιοι τὰ μὲν χρήματα τοῖς ἐνδεέσι διένειμαν καὶ νυκτὸς τῇ πρὸς Θεὸν ἐσχόλαζον προσευχῇ. Μεθ' ἡμέραν δὲ τῶν ἔργων ἁπτόμενοι, θᾶττον τὸν ναὸν ἐκαλλιέργουν καὶ ἐξεπόνουν. Ὡς δὲ δι' ὀλίγων ἡμερῶν συνετελέσθη καὶ τὸν ἀπαρτισμὸν ἔλαβεν, ἀγγέλου συναντιλαμβανομένου καὶ τοὺς ἁγίους συνεπισχύοντος, εὐθὺς Μερεντῖνος ὁ ἱερεὺς ἐπίστευσεν εἰς τὸν Χριστόν, ἤδη προπιστεύσαντος καὶ τοῦ υἱοῦ αὐτοῦ Ἀναστασίου διὰ τὸ ἀνοιχθῆναι τὸν τυφλὸν αὐτοῦ ὀφθαλμὸν παρὰ τῶν ἁγίων· καὶ τοὺς πτωχοὺς συναγαγόντες οἱ τοῦ Χριστοῦ μάρτυρες, οἷς παρέσχον τὰ χρήματα, σχοινίοις τοὺς τραχήλους τῶν ξοάνων διέλαβον καὶ πρὸς τὴν γῆν ταῦτα καθείλκυσαν. Εἶτα ἀνάψαντες φῶτα πολλὰ τὸν ναὸν καθιέρωσαν ἐπιλέγοντες· « δόξα σοι, Χριστὲ ὁ Θεός, ἀποστόλων καύχημα, μαρτύρων ἀγαλλίαμα ». Προηγεῖτο δὲ αὐτῶν ὁ τύπος τοῦ τιμίου σταυροῦ. Ὅλον δὲ τοῦτο γνοὺς ὁ Λικίνιος καὶ κελεύσας ἐξαφθῆναι κάμινον, προσέταξε τοὺς πτωχοὺς ἐμβληθῆναι, ἐν ᾗ, ῥιφέντες τῷ Θεῷ τὰ ἑαυτῶν παρέδωκαν πνεύματα. Οἱ δὲ ἅγιοι Λαῦρος καὶ Φλῶρος ἐν ἄξονι ἁμάξης προσδεθέντες ἐτύφθησαν· εἶτα ἐξαπεστάλησαν Λύκωνι. Οὓς ὁ Λύκων δεξάμενος ἐν βαθεῖ συνέκλεισε φρέατι, ἐν ᾧ κατελθόντες καὶ δεήσεις τῷ Θεῷ ὑπέρ τε τῶν μνησθησομένων αὐτῶν καὶ τῆς κοσμικῆς εὐσταθείας καὶ τοῦ παύσασθαι τὸν διωγμὸν ἀνενεγκόντες, τὰς ἑαυτῶν ἀφῆκαν ψυχάς. Χρόνοις δὲ ὕστερον ἀνηνέχθη τὰ τίμια αὐτῶν λείψανα καὶ ἐν γλωσσοκόμοις κατετέθη ἐντίμως, μύρα καὶ πηγὰς ἰάσεων τοῖς προσπελάζουσι βρύοντα. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῶν μαρτυρίῳ τῷ ὄντι πλησίον τοῦ πανσέπτου ναοῦ τοῦ ἁγίου ἀποστόλου Φιλίππου καὶ ἐν τῇ εὐαγεστάτῃ μονῇ τοῦ σωτῆρος Χριστοῦ τοῦ Παντοκράτορος, διὰ τὸ ἐκεῖσε μετατεθῆναι τὰ ἅγια αὐτῶν λείψανα.

Bodl. gr. Auct. E. 5. 2 = Oa, ff. 99ᵛ-100
Sinait. gr. 631 = Σρ, ff. 69ᵛ-70ᵛ
Crypt. Δ.α. XXIII = Cn, ff. 200-201ᵛ

'Ο κανών· Γερμανοῦ

Ἦχος βαρύς.

ᾠδὴ α'. *Τῷ συνεργήσαντι Θεῷ*

Δυὰς μαρτύρων εὐσεβῶν
τῆς τριάδος τὴν χάριν
καταπλουτήσασα
πρὸς ἄυλον σήμερον
συγκαλεῖται τρυφὴν τοὺς πιστούς.

Τοὺς ἀθλοφόρους τοῦ Χριστοῦ
ὡς ἀμάραντα ἄνθη
τῆς εὐωδίας αὐτοῦ
σεπτῶς εὐφημήσωμεν
εἰς ἔπαινον καὶ δόξαν αὐτοῦ.

Πίστει τὰ λείψανα ὑμῶν
ἀφθαρσίας εἰκόνα
ἡ ἐκκλησία Χριστοῦ
τιμῶσα, πανένδοξοι,
ἑορτάζει τὴν μνήμην ὑμῶν.

Τὸν πατέρα καὶ υἱὸν
καὶ τὸ ἅγιον πνεῦμα
προσκυνήσωμεν,
τὴν μίαν θεότητα
ἐν τρισὶν ὑποστάσεσιν.

* Ἡ διὰ λόγου ἐν σαρκὶ
ὑπὲρ λόγον τεκοῦσα

---

tit. Κανὼν εἰς τοὺς ἁγίους μάρτυρας φλόρον καὶ λαύρον et in margine Γερμανοῦ Σρ

heirm. α' EE 202, n. 287, Germani 3 καταπλουτίσασα Cn 5 τρυφὴν] τροφὴν Cn τοῖς πιστοῖς Cn 12 ὡς ἀφθαρσίας Oa Σρ 13 ἡ χριστοῦ ἐκκλησία Oa ἡ] τῇ Cn 14 πανεύφημοι Σρ Cn 16-20 τριαδ. desideratur in Σρ Cn 21-25 θεοτ. NS 28 (1933) 335; AHG III, 176; VI, 335; VII, 214 21 σαρκὶ] γαστρὶ AHG VII

τὸν ἀρχηγὸν τῆς ζωῆς
ἀπαύστως ἱκέτευε
σωθῆναι τὰς ψυχὰς ἡμῶν.

ᾠδὴ γ'. *Ἐστερεώθη ἡ καρδία μου ἐν κυρίῳ*

Τῷ θείῳ κράτει τῆς ἰσχύος τῆς ἀληθείας
ἀνδρείως τῶν εἰδώλων ἐργασάμενοι
συντριβήν, παμμακάριστοι, τῶν στεφάνων ἐτύχετε.

Τὰ λείψανα τῶν ἁγίων σου, ζωοδότα,
ὡς στήλην ἀκατάβλητον τῆς χάριτος
κεκτημένοι, αἰτούμεθα δι' αὐτῶν τὰ ἐλέη σου.

Τοῦ θείου Λόγου ὑποζύγιον γεγονότες,
ἀλόγοις ἐνεθήκατε τὰ σώματα
διὰ πνεύματος, ἅγιοι, παραδόξου αἰσθήσεως.

τριαδ. Τριάδα ἐν μονάδι θεολογοῦντες,
πατέρα καὶ υἱὸν καὶ πνεῦμα ἅγιον,
σὺν ἀγγέλοις κραυγάζομεν· « ἅγιος, ἅγιος, ἅγιος ».

θεοτ. * Ἐτέχθης ἐκ παρθένου ἀνερμηνεύτως,
ἐφάνης, ὡς ηὐδόκησας, σωτὴρ ἡμῶν,
καὶ τὸν κόσμον ἀνεκαίνισας, κύριε.

Κάθισμα.

Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ Λόγου ἐν σῇ γαστρὶ*

Οἰκοδόμοι δειχθέντες πνευματικοί,
ἐδομήσατε πίστει τῶν εὐσεβῶν

---

24 ἀπαύστως] παρθένε Cn AHG III AHG VI

heirm. γ' EE 203, n. 289, Germani vel EE 201, n. 285, Joannis, sed utrique metro stropharum paulum discedentes 26 θείῳ om. Σρ Cn 27 ἐργασάμενος Cn 29-31 troparium om. Cn 30 ὡστήλην Σρ 32 θείου om. Σρ Cn 33 ἐπεθήκατε Cn 34 ἁγίου Cn 35-37 τριαδ. deest in Σρ Cn 38-40 θεοτ. MR III, 85; AHG I, 361; VII, 214; cfr. etiam AHG VI, 337, ubi v. 40 differt 39 σωτὴρ ἡμῶν] φιλάνθρωπε Σρ Cn MR

κάθ. ante canonem Σρ (f. 64) et Cn (ff. 199-199^{v}) proferunt

heirm. καθ. MR I, 68 1 Οἰκονόμοι Σρ Cn 2 ἐδομήσασθαι Σρ Cn

κάθ. 1-4 cfr. Matth. 7,24; Luc. 6,48

ψυχὰς θείᾳ χάριτι
ἐπὶ πέτραν τῆς πίστεως
καὶ ἑαυτοὺς τελέσαντες
ναὸν ἱερώτατον
τῆς σεπτῆς τριάδος,
στερρῶς ἐνηθλήσατε·
ὅθεν καὶ ἰάσεις ἀναβλύζετε πᾶσιν
ὑμῖν τοῖς προστρέχουσι
καὶ τὰ πάθη διώκετε,
ἀθλοφόροι αὐτάδελφοι·
πρεσβεύσατε Χριστῷ τῷ Θεῷ
τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι
τοῖς ἑορτάζουσι πόθῳ
τὴν ἁγίαν μνήμην ὑμῶν.

ᾠδὴ δ'. *Εἰσακήκοα*
τὴν ἀκοήν σου καὶ ἐφοβήθην

Ἐλαξεύσατε
τῷ τμητικῷ τῆς πίστεως λόγῳ
τὴν λιθίνην, παμμακάριστοι,
τῶν ἀπίστων διάνοιαν.

Οὐ κατέπτηξαν
θυμὸν τυράννων οἱ ἀθλοφόροι,
τῶν μελλόντων τὴν ἀπόλαυσιν
εὐσεβῶς προορώμενοι.

Ἐκοσμήσατε
ὡς οἱ μεγάλοι δύο φωστῆρες

---

5 καὶ om. Cn 6 ἱερώτατοι Σρ 8 ἐνήθλησας Oa 9 πᾶσιν] πίστει Σρ Cn 13-16 post πρεσβεύσατε varie vv. intermittunt cdd., cfr. autem MR III, 48

heirm. δ' EE 203, n. 287, Germani; alium heirm. Oa praebet Εἰσακήκοα, ὁ Θεός, EE 107, n. 150, Andreae, qui autem rythmo et metro tropariorum minime aptatur 41.45.49.53.57 litteras initiales scriba praetermisit in Oa 42 λόγῳ] τρόπῳ Σρ Cn

τὸ τῆς πίστεως στερέωμα
φωτισμῷ τῷ τοῦ πνεύματος.

τριαδ. Πάτερ ἄναρχε,
υἱὲ καὶ Λόγε πατρὸς ἀνάρχου,
πνεῦμα ἅγιον, ὁμόθρονον,
τοὺς ὑμνοῦντάς σε περίσωζε.

θεοτ. * Μήτηρ ἄχραντε,
εὐλογημένη, ἁγνὴ παρθένε,
τοὺς ὑμνοῦντάς σε περίσωζε
ἀπὸ πάσης περιστάσεως.

ᾠδὴ ε'. *Οἱ ὀρθρίζοντες, Λόγε,*

Ὀφθαλμοὺς πηρωθέντας
ἐκ πλάνης ἀσεβείας
διηνοίξατε λόγοις
ἐνθέων διδαγμάτων,
συμβόλοις ὁρατοῖς
τὰ κρυπτὰ πιστούμενοι.

Ἀναχθέντες ἐκ λάκκου
πικρᾶς ταλαιπωρίας
τῆς εἰδωλομανίας,
οἱ ἅγιοι τοὺς πόδας
ἐν πέτρᾳ νοητῇ
τῆς πίστεως ἵδρυσαν.

---

52 τοῦ πνεύματος] τῆς πίστεως Oa 53-56 τριαδ. deest in Σρ Cn 57-60 θεοτ. MR III, 87; cfr. etiam in hoc volumine canonem II, 57-61; hoc aliud θεοτ. Σρ refert, quod in AHG VII, 215 invenies:

Ἀνυμνοῦμέν σε
τὴν μετὰ τόκον πάλιν παρθένον
καὶ δοξάζομέν σε, ἄχραντε,
ὡς μητέρα τοῦ Θεοῦ ἡμῶν. (ὅτι σώζεις τὰς ψυχὰς ἡμῶν AHG)

57 Μῆτερ MR 60 περιστάσεως] ἀνάγκης Cn MR

heirm. ε' EE 204, n. 289, Germani 61 πυρωθέντας Oa πειρωθέντας Σρ Cn 63 διηνοίξατε Σρ: cfr. MITSAKIS, 54b διανοίξατε Oa Cn 69 τῆς εἰδώλων μανίας Cn v. 72 πίστεως ἡδράσθησαν Σρ Cn

---

70-72 cfr. Matth. 7,24; Luc. 6,48

῾Ο τοὺς σοὺς ἀθλοφόρους
ἐν δόξῃ στεφανώσας
ταῖς αὐτῶν ἱκεσίαις,
σωτήρ, ὡς ἐλεήμων,
εἰρήνευσον λαὸν
πίστει ἀνυμνοῦντάς σε.

θεοτ. * Παναγία παρθένε,
ἡ κεχαριτωμένη,
ἡ τεκοῦσα ἐν χρόνῳ
τὸν Λόγον ὑπὲρ λόγον,
δυσώπησον αὐτὸν
σῶσαι τὰς ψυχὰς ἡμῶν.

ᾠδὴ ς΄. *῾Ο ᾿Ιωνᾶς*
ἐκ κοιλίας ῞Αδου ἐβόα

Καὶ σώματα
καὶ ψυχὰς τῶν πεινώντων
κορέσαντες
δαψιλῶς, ἀθλοφόροι,
τῆς ἄνω εὐωχίας
τῆς τραπέζης τοῦ Χριστοῦ ἠξιώθητε.

Συνέτριψαν
ἀνδριάντας τῆς πλάνης
οἱ ἅγιοι,
ἑαυτοὺς τῷ κυρίῳ
ναὸν ἡγιασμένον
θεογνωσίας ἀληθῶς καταστήσαντες.

῾Ως ἔχοντες
πρὸς Θεὸν παρρησίαν,

---

78 ἀνυμνοῦντας pro ἀνυμνοῦντα: costructio ad sensum 79-84 θεοτ. MR III, 88 ; AHG I, 363; III, 176

heirm. ς΄ EE 204, n. 289, Germani 85 Καὶ] Τὰ Σρ Cn 90 τῇ τραπέζῃ Cn ἐν τραπέζῃ Σρ ἠξιώθητε] κατηξιώθητε Σρ Cn v. 92 τὰ τῆς πλάνης τεμένη Σρ Cn 94 ἑαυτοὺς] καὶ ἑαυτοὺς Σρ 96 ἀληθοὺς Oa Σρ καταστήσαντες] κατεσκεύασαν Σρ Cn 97-102 troparium desideratur in Σρ Cn

πρεσβεύσατε,
ἀθλοφόροι κυρίου,
ὑπὲρ τῆς οἰκουμένης,
δωρηθῆναι ἱλασμὸν ταῖς ψυχαῖς ἡμῶν.

θεοτ. * ῝Ον ἔτεκες,
θεοτόκε, ἀνερμηνεύτως
Θεὸν ἡμῖν
δυσωποῦσα μὴ παύσῃ
ῥυσθῆναι ἐκ κινδύνων
τοὺς ὑμνοῦντάς σε, ἁγνὴ μητροπάρθενε.

f. 100

ᾠδὴ ζ΄. *῾Ο τῶν πατέρων καὶ ἡμῶν Θεὸς*

῾Ως οἰκονόμους πίστεως Χριστοῦ
τοὺς ἀθλοφόρους ἀνευφημοῦμεν.

᾿Εμπνόους στήλας γνώσεως τῆς σῆς
τοὺς μάρτυράς σου, Χριστέ, ὑμνοῦμεν.

῾Αγιωσύνης θεῖος θησαυρὸς
ἡ τῶν ἁγίων ὑπάρχει μνήμη.

Πρεσβείαις σῶσον τῶν ἀθλοφόρων,
σωτήρ, τὸν κόσμον ὡς ἐλεήμων.

θεοτ. * Παρθένε, μήτηρ Θεοῦ τοῦ Λόγου,
αὐτὸν δυσώπει ὑπὲρ τοῦ κόσμου.

103-108 θεοτ. MR III, 89; AHG VI, 340; VII, 216 105 ἡμῶν Σ Cn MR AHG VI AHG VII 108 ἁγνὴ ἀειπάρθενε Σρ MR AHG VI AH VII ἁγνὴν θεομήτορα Cn

heirm. ζ΄ EE 203, n. 287, Germani heirm. 1 littera ῾O scriba prae termisit in Oa καὶ om. Oa 109 οἰκονόμος Oa 111 ᾿Εμπνόους] ᾿Εμ πόρους Oa 112 μάρτυράς σου] ἀθλοφόρους Σρ Cn 115-116 troparium deest in Σρ Cn 117-118 θεοτ. AHG I, 364; VII, 217 117 μῆτερ AHG

ᾠδὴ η'. *Τὸν μόνον ἄναρχον*

Ἐν τῷ ναῷ ὑμῶν
τῷ σεπτῷ, ἀθλοφόροι,
ἐν ᾧ ηὐδόκησεν ὑμᾶς καταπαῦσαι
Χριστὸς ὁ Θεός, ὡς οἱ παῖδες βοῶμεν·
« ὑμνεῖτε ἱερεῖς,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Ἀναλαβόμενοι
προθυμίαν μαρτύρων,
εἰρηνικῶς διὰ Χριστὸν κοιμηθέντες,
ἐτύχετε τῶν στεφάνων βοῶντες·
« ὑμνεῖτε ἱερεῖς,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Ἀπεκδυσάμενοι
τὴν τῆς πλάνης λατρείαν
καὶ τὸν Χριστὸν περιζωσάμενοι πίστει,
οἱ ἅγιοι ἀθλητικῶς ἀνεβόων·
« ὑμνεῖτε ἱερεῖς,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Τὸν στεφανώσαντα
δωρεαῖς οὐρανίαις
κατὰ τῆς πλάνης τροπαιούχους φανέντας
τοὺς μάρτυρας τῆς αὐτοῦ παρουσίας

heirm. η' EE 204, n. 289, Germani heirm. 1 littera T scriba praetermisit in Oa 121 εὐδόκησεν Cn ὑμᾶς] χριστὸς Σρ Cn v. 122 τὰ σώματα ὑμῶν ὡς οἱ παῖδες βοῶμεν Σρ τὰ σώματα νῦν ὑμῶν ὡς οἱ παῖδες Cn v. 123 βοῶμεν ἐκτενῶς Cn 124 λαὸς] χριστὸν Cn 125 v. detruncant cdd. 126-132 tropario caret Cn 127 προθυμία τὸν σταυρὸν Σρ 128 εἰρηνικῶς] μαρτυρικῶς Σρ 130-132, 137-139 vv. varie intermittunt Σρ Oa 134 λατρείαν] ἀνδρείαν Oa 136 ἀθλητικῶς ἀνεβόων (ἀνεβόουν Oa)] μελωδοῦντες ἐβόουν Cn 137-139 post ὑμνεῖτε vv. excidit Cn 140-146 troparium om. Σρ Cn

ὑμνεῖτε ἱερεῖς,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

θεοτ. * Τὸν πλαστουργήσαντα
τὸν Ἀδὰμ κατ' εἰκόνα
καὶ ἐκ φυράματος αὐτοῦ προελθόντα
καὶ σώσαντα τῶν ἀνθρώπων τὸ γένος
ὑμνεῖτε ἱερεῖς,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ'. *Τὴν ὑπὲρ φύσιν μητέρα*

Ὡς καθαιρέτας τῆς πλάνης
καὶ ὁδηγοὺς πλανωμένων
καὶ ἰατροὺς ἐκ Θεοῦ τῶν παθημάτων
τοὺς μάρτυρας τοῦ Χριστοῦ
ἐπαξίως εὐφημήσωμεν.

Τῷ θεμελίῳ ἐνθέως
τῶν ἀποστόλων ἐν πίστει
ἐπῳκοδόμησαν, ἑαυτοὺς ὡς λίθους ζῶντας,
ναόν, Χριστὲ ὁ Θεός,
οἱ ἀθλοφόροι ἐν πνεύματι.

Τῆς ἀηττήτου ἀνδρείας
τῶν τοῦ Χριστοῦ ἀθλοφόρων

144-146 vv. abrumpit cd. 147-153 θεοτ. TR 400; diversum θεοτ. Σρ Cn praebent Τὸν μόνον εὔσπλαγχνον (ἄναρχον Cn), cfr. PaR 548 v. 150 καὶ λύσαντα τὴν ἀρχαίαν κατάραν TR 151-153 vv. detruncat cd.

heirm. θ' EE 203, n. 287, Germani 158 εὐφημήσωμεν] μεγαλύνομεν Σρ μεγαλύνωμεν Cn 161 ἐποικοδόμησαν Cn ἑαυτοὺς] σοι Oa 163 οἱ ἀθλοφόροι] οἰκητήριον Oa 164-168 tropariumn Σρ Cn hoc alio substituunt:

Ταῖς ἱκεσίαις, οἰκτῖρμον,
τῶν πανευφήμων μαρτύρων
τοὺς οἰκτιρμούς σου ἡμῖν, σωτήρ, (σωτὴρ ἡμῖν Cn) παράσχου
καὶ σῶσον ὡς ἀγαθὸς
ἐκ κινδύνων τὰς ψυχὰς ἡμῶν.

147-148 Gen. 1,27 159-162 cfr. I Cor, 3,11; I Petr. cp. 2,4-5

ἐπιτελοῦντες, πιστοί, ἐτείαν μνήμην,
τὸν τούτους ὡς νικητὰς
στεφανώσαντα ὑμνήσωμεν.

θεοτ. * Ἡ ἐν γαστρὶ συλλαβοῦσα
τὸν ἀπερίληπτον Λόγον
καὶ τοῦτον ἄνευ σπορᾶς σαρκὶ τεκοῦσα
ἱκέτευε ἐκτενῶς
τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

169-173 θεοτ. TR 438; AHG I, 365; VI, 348 AHG I 171 σαρκὶ] ἡμῖν AHG VI 170 ἀπερίγραπτον

IN SANCTUM MACARIUM HEGUMENUM PELECETAE

Synaxarium (Selecta), 577[26]-580[32] *: Μ α κ α ρ ί ο υ ἡγουμένου τῆς Πελεκητῆς. Οὗτος ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Μακάριος ἐν Κωνσταντινουπόλει γεννηθεὶς καὶ νήπιος ἀπορφανισθεὶς ἀνάγεται παρὰ γνησίου αὐτοῦ θείου. Παραδοθεὶς δὲ εἰς τὴν τῶν ἱερῶν γραμμάτων παιδείαν, δεξιᾶς φύσεως ὤν καὶ ἐπιμέλειαν πολλὴν ἐπιδειξάμενος, συντόμως τὸ πᾶν τῆς γραφῆς διεξιὼν ἐπέγνω τὴν τῶν ἐπικήρων εὐτέλειαν καὶ ταχεῖαν φθορὰν καὶ τῶν οὐρανίων τὴν ἀιδιότητα. Τούτου χάριν τῆς πόλεως ἐξιών, κατήντησεν εἰς μοναστήριον Πελεκητὴν οὕτω προσαγορευόμενον καὶ καταμίξας ἑαυτὸν τοῖς ἐκεῖσε μοναχοῖς, τὸ Χριστοφόρος ἀποβαλών, Μακάριος παρ' αὐτῶν ἐκεῖσε μετονομάζεται. Οὗτος μικροῦ δεῖν ἐν πάσαις ταῖς τοῦ κοινοβίου διακονίαις ὑπηρετήσας καὶ τὰς ἀρετὰς κατορθώσας ἐπὶ πολλῇ ταπεινώσει, γέγονεν ἀρχηγὸς ὁμοῦ τε καὶ θαυματουργὸς ἐξαίσιος· καὶ γὰρ ἀνίατα πάθη ἐθεράπευσεν ὁ Θεὸς δι' αὐτοῦ, καὶ ὑετὸν ἐξ οὐρανοῦ ἐπὶ γῆς δι' εὐχῆς κατήγαγε. Καὶ μεγάλου καὶ ἐξακούστου γεγονότος ἐν ταῖς ἡμέραις ἐκείναις, πολὺ πλῆθος συνέρρεε πρὸς αὐτόν, οἱ μὲν ψυχικὰ ἐγκλήματα δι' αὐτοῦ ἀποσμηχόμενοι, οἱ δὲ σωματικῆς θεραπείας ἀπολαύοντες, ἕτεροι δὲ ψυχικῶς ὁμοῦ καὶ σωματικῶς ῥωννύμενοι ἐπορεύοντο οἴκαδε. Τῆς φήμης δὲ ταύτης Ταράσιος ὁ ἁγιώτατος πατριάρχης Κωνσταντινουπόλεως κατήκοος γεγονώς διὰ τὸν πατρίκιον αὐτὸν μετεστείλατο Παῦλον, πάλαι μὲν παρ' αὐτοῖ ἀπηγορευμένῃ νόσῳ κατεσχημένον θεραπευθέντα, τότε δὲ τῆς συμβίου αὐτοῦ ὁμοίως παρὰ τῶν ἰατρῶν ἀπαγορευθείσης, παρ' αὐτοῦ δὲ ἀναρρωσθείσης. Τοῦτον οὖν εὐλογήσας ἱερουργὸν κυρίου πεποίηκε· παρακοὴν γὰρ οὐκ ἐνόσει ὡς οἱ πολλοί, ἀλλ' ὑπακοὴν ἐπετήδευεν ὡς εἰς ζωὴν ἄγουσαν. Ἀπελθόντος δὲ πρὸς τὴν μονὴν αὐτοῦ, τὴν ταπείνωσιν ἣν εἶχε πολλαπλάσιον εἰργάσατο. Τότε ὁ σκανδαλουργὸς διάβολος βασιλέα τύραννον εἰς τὸ Βυζάντιον ἐμφυτεύσας, τὰς σεβασμίους εἰκόνας πυρὶ καὶ ὕδατι παρεδίδου· Λέων ἦν ὁ Ἀρμένιος οὗτος, ὃς τὸν ἁγιώτατον πατριάρχην Νικηφόρον ἐξορίᾳ παρέπεμψε, τοὺς ἀρχιερεῖς καὶ ἀρχιμανδρίτας ἐξορίαις τε καὶ φυλακαῖς καὶ δειναῖς κατήκιζε μάστιξι. Τότε καὶ ὁ θαυμάσιος οὗτος ἀνὴρ εἷς ἦν ἐκ τῶν μνημονευθέντων ἁγίων πατέρων, ποικίλως βασανισθεὶς καὶ ἐν φυλακῇ διάγειν μέχρι τέλους κατακριθεὶς διὰ τοῦ ἀλιτηρίου βασιλέως ἐκείνου. Βασιλεύσας δὲ μετ' ἐκεῖνον Μιχαὴλ ὁ Τραυλὸς καὶ αὐτὸς τῆς βδελυρᾶς θρησκείας αὐτοῦ ὑπάρχων, ἐξαγαγὼν τὸν ἅγιον τῆς φυλακῆς καὶ πολλὰ δι' ἑαυτοῦ καὶ δι' ἑτέρων κολακεύσας καὶ ἀπειλήσας, ἤνυε πλέον οὐδέν. Διὸ καὶ ἐν Ἀφουσίᾳ τῇ νήσῳ τοῦτον ἐξορίσας, ἐν ἀσφαλεῖ ἐφύλαττεν. Ὁ δὲ ἅγιος πάντα γενναίως φέρων ηὐχαρίστει τῷ Θεῷ. Χρονίσας δὲ ἐν τῇ ἐξορίᾳ καὶ πλεῖστα ἀγωνισάμενος καὶ σημείων αὐτουργὸς ἐκεῖσε γενόμενος, ἀπῆλθε πρὸς κύριον.

---

* in die 1 aprilis

Crypt. Δ.α. XII	= Cp,	ff. 99ᵛ-101ᵛ
Crypt. Δ.α. XXIII	= Cn,	ff. 202-204
Matrit. gr. 4694	= A,	ff. 200-202ᵛ
Paris. Coislin. gr. 218	= Ha,	ff. 117-119
Hierosol. Sabait. gr. 71	= Ja,	ff. 150-152ᵛ
Sinait. gr. 631	= Σρ,	ff. 67ᵛ-69ᵛ

Ὁ κανών· Θεοφάνους.

Ἦχος δ'.

ᾠδὴ α'. *Τριστάτας κραταιοὺς*

Ταῖς θείαις καλλοναῖς
ἐνηδόμενος, πάτερ,
καὶ φωτὶ θεαρχικῷ
λαμπόμενος ἀεί,
οὐρανόθεν μοι ἔλλαμψιν
αἴτησαι φαεινοτάτην
ἀνυμνοῦντι τὴν μνήμην σου
τὴν φωσφόρον, θεόφρον Μακάριε.

Ποθήσας τὸν Χριστόν,
σεαυτὸν ἀπηρνήσω
καθ' ἡμέραν τὸν σταυρὸν
βαστάζων τοῦ Χριστοῦ
ἐπὶ ὤμων σου, ὅσιε,
πόνοις δὲ συντονωτάτοις
τῆς σαρκὸς τὰ σκιρτήματα
τῇ ψυχῇ καρτερῶς καθυπέταξας.

---

tit. Εἰς τὸν ὄρθρον ... ἕτερος κανὼν τοῦ ὁσίου Cp   Ὁ κανὼν et in margine sigla Θεοφάνους Cn   Ἕτερος κανὼν τοῦ ὁσίου πατρὸς ἡμῶν μακαρίου τοῦ ἡγουμένου πρεσβυτέρου καὶ ὁμολογητοῦ et in margine sigla Θεοφάνους Ha   Κανὼν εἰς τὸν ὅσιον πατέρα ἡμῶν μακάριον Σρ

heirm. α' ΕΕ 95, n. 135, Joannis   12 τοῦ Χριστοῦ] ἀκλινῶς Cn A Ha Σρ   16 καρτερῶς] κραταιῶς Cn A Ha Σρ

9-13 cfr. Matth. 16,24

Τῶν πόλεων πασῶν
ἡ προκαθεζομένη
σὲ βλαστάνει μοναστῶν
τὸν μέγαν πολιστὴν
καὶ τῆς ἄνω, Μακάριε,
πόλεως τὸν κληρονόμον
καὶ ὁσίων συμμέτοχον
σὺν τοῖς πέρασι πᾶσι τιμῶσά σε.

θεοτ. Ὑμνοῦμέν σε, δι' ἧς
ἐθεώθημεν πάντες,
σὲ τὴν πρώτιστον μητέρα
δολίου συμβουλῇ
ἐκπεσόντες, πανύμνητε,
θείας τε καὶ ἀιδίου
ἀπολαύσεως, δέσποινα,
τῶν ὁσίων ἡ δόξα καὶ στήριγμα.

ᾠδὴ γ'. *Οὐκ ἐν σοφίᾳ*

Δι' ἐγκρατείας
τὰς ὁρμὰς τῶν παθῶν ἐχαλίνωσας,

---

v. 18 ἡ τὸ κράτος λαχοῦσα Cn A Ha Ja Σρ   22 πόλεων Cn   23 συμμέτοχοι Cp   24 σε] σου Cn   post v. 24 hoc troparium profert Ha, cuius textum simile ac κάθ. p. 221 apparet:

Τῷ πέλυκι τῶν σῶν
προσευχῶν ἐκριζώσας
τὰς ἀκάνθας τῶν παθῶν,
συνέκοψας ἐχθρῶν
δυσμενῶν τὰ συστήματα
θείαν δύναμιν ἐξ ὕψους
δεδεγμένος, Μακάριε
θεοφόρε, καὶ κράτος ἀήττητον.

25-32 hoc θεοτ. diversum praebent Cn A Ha Ja Σρ:

Πηγὴν τῶν ἀγαθῶν,
θελητὴν τοῦ ἐλέους
ὡς γεννήσασα, ἁγνή,
τὸν μόνον λυτρωτήν,
τὴν ψυχήν μου ἀγάθυνον
πάθεσι κεκακωμένην
καὶ δειναῖς ἀμαυρότησιν
ἀνιάτως νοσοῦσαν, θεόνυμφε.

heirm. γ' ΕΕ 96, n. 136, Joannis   34 παθῶν] παντῶν Cp

f. 100 ‖ δι' ἀγάπης ἀληθοῦς
ψυχὴν πρὸς ἔνθεον ἔρωτα,
πάτερ, ἀνεπτέρωσας,
θεομακάριστε.

Πηγὰς δακρύων
ταπεινώσει ψυχῆς προβαλλόμενος,
θολεροὺς τοὺς τῶν παθῶν
χειμάρρους, πάτερ, κατέκλυσας·
θείας παρακλήσεως
ὅθεν ἐπέτυχες.

Καθάπερ λύχνος
ἀρετῶν φωταυγίᾳ λαμπόμενος
τῇ λυχνίᾳ τῆς σεμνῆς
ἡγεμονίας προτέθησαι,
ἄγων τὸ ὑπήκοον
φῶς πρὸς ἀνέσπερον.

θεοτ. Σέ, παναγία
θεοτόκε παρθένε, κραταίωμα
κεκτημένος ὀχυρὸν
χορὸς ὁσίων κατέβαλεν
ἐχθρὸν τὸν ἀλάστορα·
ὅθεν ὑμνοῦμέν σε.

---

36 ψυχῆς Cn 39 Πηγὴ Cn 41 τοὺς] τε Cp 45-50 troparium desideratur in Σρ 45 λύχνοι Cn 46 λαμπόμενοι Cn 48 προστέθησαι A Ja 51-56 hoc aliud θεοτ. Cn A Ha Ja Σρ proferunt:

Νενεκρωμένην
τὴν ψυχήν μου ἀτόποις τοῖς πταίσμασι (τοῖς πάθεσι A παθήμασι Ha Ja Σρ)
ζωοποίησον, ἁγνή,
τὸν ζωοδότην κυήσασα
σώζειν τὸν δυνάμενον
μόνῳ τῷ νεύματι.

39-44 I. VAN DEN GHEYN, *S. Macarii, monasterii Pelecetes hegumeni, acta graeca*, « Anal. Boll. » 16 (1897), $147^{12\text{-}16}$: Τίς τὴν τῶν δακρύων αὐτοῦ πηγὴν ἢ λόγῳ παραστήσειεν, ἢ τῇ διανοίᾳ ἀντεξετάσειεν, ὡς φέρε εἰπεῖν πολλῶν ἐν τούτοις θαυμαστωθέντων, μηδένα πρὸς σύγκρισιν τοῖς καθ' ἑκάστην ὀχετηδὸν ἐκχεομένοις αὐτοῦ δακρύοις παραβάλλεσθαι, ποταμοὺς ὡς ἀληθῶς ἀέναα ῥέοντας τοὺς ὀφθαλμοὺς εἶχεν.

45-48 cfr. Matth. 5,15; Marc. 4,21; Luc. 8,16

Κάθισμα.

Ἦχος α'. *Τὸν τάφον σου, σωτήρ,*

Τῷ πέλυκι τῶν σῶν
προσευχῶν ἐκριζώσας
ἀκάνθας ἡδονῶν,
καὶ ἐχθρῶν ἀοράτων,
δαιμόνων, τὰ συστήματα
συνδιέκοψας, ὅσιε,
θείαν δύναμιν
ὡς δεδεγμένος ἐξ ὕψους
καὶ πρὸς κρείττονα
ὥσπερ στρουθίον ἀνέπτης
οὐράνιον οἴκησιν.

ᾠδὴ δ'. *Ὁ καθήμενος ἐν δόξῃ*
ἐπὶ θρόνου θεότητος

Αἱ τοῦ βίου σου ἀκτῖνες
πανταχοῦ διαθέουσαι
τὸν τοῦ κόσμου λύχνον
πείθουσι, τὸν μέγαν Ταράσιον,
ἱερωσύνης σοι χάριν
καὶ λαμπρότητα
ἐμπιστεῦσαι ψήφῳ θεϊκῇ, ἀξιάγαστε.

καθ. ante canonem Cn (f. 201^{v}) Ha (f. 113) Ja (f. 150) et Σρ (f. 63^{v}) tradunt heirm. καθ. PeR 59 1 πέλεκυ Cn A 6 διέκοψας Cn συνέκοψας A σὺ διέκοψας Ja 10 ἀπέπτης Cp A Ja Ha Σρ

heirm. δ' EE 95, n. 135, Joannis 57 ἀκτῖναι Ja 60 πείθουσαι A 63 ἐμπιστεῦσαι] ἐπιθῆναι A ἐμπιστεύεσθαι Ja ψήφῳ θεϊκῇ] σθένει θεϊκῷ Cn ψίφω θεοῦ Ja

---

57-63 I. VAN DEN GHEYN, o.c., $149^{11\text{-}19}$: Ἐπεὶ δὲ πρὸς Ταράσιον τὸν ἀρχιποίμενα τοῦ περὶ αὐτὸν λόγου ἀναδραμόντος καὶ πλείστου διὰ τῶν ἔργων ὧν ἔδρα ὁ ἅγιος ἐνηχουμένου, οὐκ ἀγαθὸν ἀμοιρεῖν τῆς τούτου θέας ἑαυτὸν ὁ ἀρχιερεὺς κέκρικε. Διὸ μεταστειλάμενος αὐτόν, τόν τε πόθον ἀφοσιοῦται καὶ τὴν ἡγεμονίαν ἐπικυροῖ καὶ πρὸς ταύτῃ τὴν τοῦ διακόνου χειροτονίαν ἐκβιάσας αὐτῷ ἐπιτίθησιν. Ὁ δέ, καίτοι τυραννηθείς, εἶξε τῷ κελεύοντι καὶ οὐκ ἀντέφησε τῷ ποιμένι. Ἐπανελθὼν οὖν Μακάριος πρὸς τὴν οἰκείαν ποίμνην, ἱερωσύνῃ καὶ τοῖς λοιποῖς χαρίσμασι κεκοσμημένος, μᾶλλον τὴν τῶν ἀγώνων ἐργασίαν ἐπέτεινεν ...

Μιμητὴς τῶν ἀποστόλων
γεγονὼς ἀκριβέστατος,
τὰ σφυρὰ καὶ βάσεις,
πάτερ, τοῦ χωλοῦ ἐστερέωσας
τῇ εὐπροσδέκτῳ δεήσει,
ἀρτιόδρομον
ἐργασάμενος τὸν ἐκ γαστρὸς ἀνενέργητον.

Προσευχῶν σου ἐπομβρίᾳ
ὑετὸν εὐφορώτατον
κατήγαγες, πάτερ,
πάλαι ὡς Ἠλίας ὁ ἔνδοξος,
οὗ καὶ πλουτήσας τὴν χάριν,
οὐρανοὺς ἡμῖν
κεκλεισμένους, οἷα συμπαθής, μάκαρ, ἤνοιξας.

---

69 ἀντιόδρομον Cp 71-77 vv. hoc tropario Ha substituit:
Τὸν εἰς ὕψος ἀδικίαν
προφανῶς μελετήσαντα
θηριώδει τρόπῳ,
πάτερ, ὡς καὶ κλήσει, μακάριε,
σοῦ ταῖς νευραῖς ταῖς τῶν λόγων
ἀπηγχόνισας
ἀπαρνήσασθαι Χριστοῦ τὴν μορφὴν σοὶ προστάττοντα.
73 κατηγάγω Cn A Ja Σρ 75 πλουτίσας Cn 77 ἤνοιξας cdd.: cfr. MITSAKIS, 54b

---

64-70 I. VAN DEN GHEYN, o.c., 150[32]-151[10]: Ταῦτα βοήσαντος τοῦ ποιμένος ὀλολυγμῷ καὶ δάκρυσιν καὶ τὸν παῖδα κατασφραγίσαντος, πάντας καθ' ἡσυχίαν ἐξαπέστειλεν. Οὕτω τοίνυν ἕωθεν, τῆς τάξεως τοῦ κανόνος ἐκτελεσθείσης, ἐκτενῆ δέησιν ὑπὲρ τοῦ πάσχοντος ὁ ἅγιος προσέταξεν ποιεῖσθαι. Ἁπάντων οὖν εἰς ὕψος τὰς χεῖρας ἠρμένας ἐχόντων τοῦ τε παιδὸς πρὸς τοῖς ποσὶν αὐτοῦ κεκλιμένου, ἀτενῶς ὁ ἅγιος πρὸς αὐτὸν ἐμβλεψάμενος, φωνῇ διαπυρσίῳ· « ἀπόθες ἃ κατέχεις » αὐτῷ ἔφησεν « ξύλα ». Ὁ δὲ νεανίας τάχει τὸ κελευσθὲν ἐξεπλήρωσε. Λαβόμενος οὖν τῆς χειρὸς αὐτοῦ ὁ ἅγιος καὶ κουφίσας, ἵστησιν αὐτὸν ἐπὶ πόδας. Ὃν εὐλογήσας, ἀλλόμενον αὐτίκα καὶ πηδῶντα παρέπεμψεν. Τοῦτο προσκείσθω τῷ κατὰ τὴν ὡραίαν πύλην τοῦ Πέτρου θαύματι, ἡνίκα τῆς εὐλογίας τὴν αἴτησιν εἰς δρόμους κατήλλαξεν καὶ ἀντὶ χρυσοῦ τὴν ὑγίειαν ἀπέδωκεν. Καὶ γὰρ ὁ Πέτρου μαθητής, κατ' ἴχνος τούτου βαδίζων, τῶν ὁμοίων οὐκ ἀπελείπετο χαρισμάτων ...

64-70 cfr. Act. 3,1-10 71-74 III Regn. 18,45

θεοτ. Τὸν σεβάσμιον καὶ θεῖον
χαρακτῆρά σου βλέποντες
ἐν εἰκόνι, κόρη,
θείας εὐφροσύνης πληρούμεθα
καὶ κομιζόμεθα ῥῶσιν
ἄμφω σώματος
καὶ ψυχῆς, Μακαρίῳ τῷ θείῳ ἑπόμενοι.

f. 100v ‖ ᾠδὴ ε'. *Ἀσεβεῖς οὐκ ὄψονται*
τὴν δόξαν σου, Χριστέ,

Φυλακαῖς ὡμίλησας
μακραῖς καὶ χαλεπαῖς,
ἐντολῶν φύλαξ τοῦ Χριστοῦ
ἀκριβὴς γενόμενος, πάτερ ὅσιε,
καὶ αὐτοῦ τὸν ἄχραντον
χαρακτῆρα ἀσπαζόμενος.

Ὁ τῆς παραβάσεως
ἐργάτης φοιτητὴς

78-84 diversum θεοτ. Cn A Ha Ja Σρ referunt:
Ἡ τὸν ἥλιον τῆς δόξης
ὡς νεφέλη ἀείφωτος
τοῖς ἐν σκότει πάλαι
τῆς πολυθεΐας ὑπάρχουσιν
ἐξανατείλασα, κόρη,
φωταγώγησον
τῆς καρδίας μου τὰ νοητὰ αἰσθητήρια.
heirm. ε' ΕΕ 97, n. 138, Joannis ante vv. 85-90 hoc troparium Cn Ha Σρ proferunt:
Ἰαννῆ τὸν σύστοιχον
ὁμοῦ καὶ Ἰαμβρῆ
τῆς αἱρέσεως ἀρχηγὸν
ἀπεκρούσω, δόλῳ ὑπολαβόντα σε
ἀπατᾶν, ὡς φρόνιμος
νουνεχής τε καὶ νηφάλιος (νηφάλαιως cdd.)
90 ἀσπαζόμενος] προσεκύνησας Ha Σρ 91-96 troparium deest in Ha 92 ἐργάτης] ἐγράφη Σρ φοιτητὴς] γεγονὼς Cn

---

91-96 I. VAN DEN GHEYN, o.c., 156[27]-157[9]: Τῶν γὰρ ὑπὸ χεῖρα τοῦ ἁγίου ἱερέων εἰς τῇ τῆς αἱρέσεως κοινωνίᾳ καταχρανθεὶς καὶ εἰς συναίσθησιν τοῦ οἰκείου γενόμενος πτώματος, τῷ ἁγίῳ προσφεύγει καὶ τὰ τοῦ πράγματος ἐξαγγέλλει. Ὁ δὲ

ἀνιέρως ἱερουργῶν,
σκοτασμοῦ μετέδωκε ταῖς ὁμαίμοσιν,
ἀλλ' αὐτὰς ἐφώτισας
τῶν πνευμάτων λυτρωσάμενος.

Μαστιχθεὶς ὑπήνεγκας,
νευρούμενος στοργῇ
τῇ ἐνθέῳ, πάτερ σοφέ,
φυλακὴν οἰκήσας δέ, ἐκ σκότους ἔλυσας
δυσσεβοῦς αἱρέσεως
τοὺς ἐκεῖσε πειθομένους σοι.

θεοτ. Εὐλογίαις, δέσποινα,
πλουτήσασα ἡμᾶς,
τοὺς ἐν πόθῳ σε καὶ χαρᾷ
εὐλογοῦντας, φώτισον καὶ καθαγίασον
καὶ τῷ κλήρῳ σύνταξον
τῶν ὁσίων ἱκεσίαις σου.

ᾠδὴ ς'. *Ἐβόησε*
προτυπῶν τὴν ταφὴν τὴν τριήμερον

Σιτοδότην
Ἰωσήφ σέ, Μακάριε, ἔγνωμεν

---

94 ταῖς] τοῖς Cn 97-102 troparium om. Cn Σρ 100 ἐκ om. Cp A Ja 103-108 θεοτ. Cn A Ha Ja Σρ tradunt, quod incipit Τὴν ἁγνὴν ἁγνεύοντι, ed. in MR II, 266

heirm. ς' EE 125, n. 172, anonimi 109 Εοιτοδότην Cp

τοῦτον ἠπίως δεξάμενος, τῆς ἱερωσύνης μὲν ἀπεῖρξε, τὴν δὲ προσήκουσαν τούτῳ ἀπένειμε τάξιν. Λαθὼν οὖν ἑαυτὸν καὶ τὴν τοῦ ἁγίου πρόσταξιν παριδών, κατ' αὐτῆς ἐπεχείρει. Τελέσας οὖν ὡς ἐδόκει τὰ τῆς λειτουργίας, τῶν τῆς παρακοῆς λειψάνων τοῖς παροῦσι μετέδωκεν. Ἀδελφαὶ δὲ τούτου γνήσιαι ἔτυχον οὖσαι αἱ τούτων μετασχοῦσαι, αἵτινες πρὸς τὴν παράβασιν καὶ συνώθησιν, ἅμα γοῦν τῇ κοινωνίᾳ τιμωρητικῶν δαιμόνων ἐνεφορήθησαν ἅπασαι ὡς τὸ τῆς παρακοῆς ἔγκλημα παρρησίᾳ δημοσιευθῆναι· μαστιζόμεναι τοίνυν ἐπὶ τὸν ἅγιον καταφεύγουσιν καὶ τὰ τῆς παραβάσεως στηλιτεύουσιν. Ὁ δὲ ἅγιος πολλὰ μὲν κατὰ τοῦ τολμήσαντος ἀγανακτήσας, αὐτὰς δὲ τοῦ πάθους κατοικτειρήσας, ὡς εἶχεν αὐτίκα τῆς ἰατρείας τοῖς πᾶσι παρέσχετο, τὰς μὲν τῶν πνευμάτων ἀποκαθάρας, τὸν δὲ πρὸς τὴν πίστιν ἐπανορθώσας.

100-102 I. VAN DEN GHEYN, o.c., 159 § 14.

109-112 I. VAN DEN GHEYN, o.c., 159[27-30]: Ταύτην οὖν κατειληφὼς καὶ

109-110 cfr. Gen. 41,46-57; 47,12 ss.

δεομένοις
ἐπαρκοῦντα καιρῷ περιστάσεως,
μὴ στενούμενον δὲ
πλατυσμῷ ἀληθοῦς, πάτερ, πίστεως.

Ῥάβδῳ θείας
προσευχῆς προσεγγίσας, Μακάριε,
τῷ τὴν χεῖρα
προσπελάσαι τῷ ἔργῳ μὴ σθένοντι,
τοῦ συνόντος πάθους
ἀπολύεις δυνάμει τοῦ πνεύματος.

Κεκοίμησαι
τὸν δικαίοις ἁρμόζοντα, ὅσιε,
θεῖον ὕπνον,
ἡμερῶν πλήρης ὢν τῶν τοῦ πνεύματος,
καὶ Θεοῦ εἰς χεῖρας
καθαρὸν ἐναπέθου τὸ πνεῦμά σου.

---

111 δεομένοις] ἐπαρκοῦντα Ha 112 ἐπαρκοῦντα] δεομένοις Ha 113 στενούμενος Ja 114 πλατυσμοῦ Ha Ja πίστεως] γνώσεως Ja 120 ἀπολύεις] ἀπολαύεις A 121-126 troparium desideratur in Σρ; hoc aliud Cn Ha Ja praebent:

Ἐδέξαντο
σὲ ὁσίων χοροὶ ὡς ὁμότροπον,
θεοφόρε,
καὶ μαρτύρων νομίμως ἀθλήσαντα
καὶ αὐτῶν τοῦ ζήλου
κοινωνήσαντα λόγῳ καὶ πράξεσιν.

λιμῷ ψυχορραγοῦντας τοὺς ἐν ταύτῃ ἑωρακώς, σιτοδοτεῖ ἄριστα κατὰ τὸν πάλαι Ἰωσὴφ καὶ τὴν παρ' αὐτοῦ ῥοπὴν τῆς ἀπειρηκόσι πορίζεται ...

115-120 I. VAN DEN GHEYN, o.c., 160[9-17]: Ἁπάντων οὖν περὶ τὸ ἔργον πονουμένων, εἷς τις τῶν μοναζόντων ἄεργος τοῖς κάμνουσι προσανέχων παρίστατο, ᾧτινι τοῖς ἐργωμένοις ἐπαμύνειν ὁ ἅγιος ἐκέλευσεν. Ὁ δὲ ἀδυνάτως ἔφασκεν ἔχειν, καὶ γὰρ τὸν ἀντίχειρα δάκτυλον ξηρὸν ἔτυχεν ἔχων· μετρίῳ γοῦν φρονήματι τῇ ῥάβδῳ τοῦτον προσπαίσας ὁ ἅγιος καὶ τὰ τῆς ἀπιστίας ἐπονειδίσας, ὡς εἶχε τάχους ἐπιχειρεῖν τοῦ ἔργου παρώτρυνε. Λαβομένου τοίνυν αὐτοῦ τὸ ἐπίτηδες ἐργαλεῖον καὶ τὸν χοῦν ἀποκαθαίρειν ἀρξαμένου, ἓν ἔργον αὐτίκα καὶ παραπλήσιον τοῖς ἄλλοις συγκάμνων ἐγένετο.

121-126 I. VAN DEN GHEYN, o.c., 162[6-7]: ... « εἰς χεῖράς σου, δέσποτα, » φήσας « παρατίθημι τὸ πνεῦμά μου ». Καὶ οὕτω τῶν τοῦ βίου μετέστη ...

---

124 cfr. Gen. 25,8; 35,29 et similes locos 125-126 cfr. Luc. 23,46

θεοτ. Ῥημάτων μου
τῶν ἀχρείων φωνήν, παναμώμητε,
δεξαμένη
καὶ ψυχῆς στεναγμὸν τὸν ἐγκάρδιον,
φθονερῶν ἀνθρώπων
καὶ δολίων δαιμόνων ἐκλύτρωσαι.

Κοντάκιον.

Ἦχος β΄.

Τὴν ἐν πρεσβείαις ἀκοίμητον θεοτόκον
....

⟨Ὁ οἶκος.⟩

Ἀληθινὸν τοιοῦτόν τι λέγειν
....

f. 101 ᾠδὴ ζ΄. *Ὁ διασώσας ἐν πυρὶ*
τοὺς Ἀβραμιαίους σου παῖδας

Ὡς σαββατίσας τῇ σαρκὶ
Φλώρῳ τε καὶ Λαύρῳ, σὺν τούτοις
τῶν οὐρανίων ἀγαθῶν
κληρονόμος ἐδείχθης, τῷ κτίσαντι
μελῳδῶν, παναοίδιμε·
« ὁ Θεὸς ὁ τῶν πατέρων, εὐλογητὸς εἶ ».

127-132 hoc aliud θεοτ. Cn A Ha Ja Σρ proferunt:
Ἰάτρευσον
τὴν ψυχήν μου ἀνίατα (πανάμωμε Ha) πάσχουσαν (δέσποινα Ha)
καὶ πρὸς τρίβον
μετανοίας, ἁγνή, καθοδήγησον,
ἡ βεβαία σκέπη
τῶν χειμαζομένων ἁμαρτήμασιν.
κοντάκ., cuius tantum duos primos versus tradit Cp, ed. in PAS I, 527 οἶκ. PAS I, LXIII; κοντάκ. et οἶκ. om. Cn A Ha Ja Σρ
heirm. ζ΄ EE 101, n. 142, Cosmae 134 φλόρου Cn λαύρου Cn 138 v. varie detruncant Cn Ja A Σρ Cp

Καὶ πρὸ θανῆς θαυματουργῶν,
πλέον μετὰ θάνατον ὤφθης
τὰς ἀθανάτους δωρεὰς
ἐνεργῶν καὶ μαστίζων, Μακάριε,
τῶν δαιμόνων τὰς φάλαγγας
καὶ λυτρούμενος ἀνθρώπους τῆς τούτων βλάβης.

Ὡς γυμνωθέντα τῆς αὐτὸν
χάριτος, σοφέ, φυλαττούσης
τὸν μοναστὴν ὁ πονηρὸς
εὑρηκώς, οἰκητήριον ἔδειξεν,
ἀλλὰ τοῦτον κατέφλεξας
ἀστραπαῖς σου ταῖς ἐκ τάφου ἐκπεμπομέναις.

θεοτ. Ἵνα φωναῖς χαρμονικῶς
σοῦ τὸν ἀνερμήνευτον τόκον,

139-144 troparium om. Ha 139 θαυματουργεῖς A 145-150 troparium deest in A Σρ; ipsum ut secundum Ha refert; ut tertium hoc troparium legitur in A Ha Σρ:
Σὺ προφανῶς δυσὶ παισὶν
ἔνειμας διπλῆν σωτηρίαν,
ἀλάλου πνεύματος τὸν (τὸ Σρ) μὲν
ἀπαλλάξας, τὸν δὲ ἐργασάμενος
ὑγιᾶ τε καὶ εὔλαλον,
ἀνυμνοῦντάς σου (ἀνυμνοῦντα σου Ha ἀνυμνοῦντων σου Σρ) τὴν χάριν,
θεόφρον πάτερ.
145 αὐτῶν Cp Cn αὐτοῦ Ja 147 τῶν μοναστῶν Ja ὁ] καὶ Cn 149 ἀλλὰ] ἅμα Cn 151-156 Cn A Ha Σρ θεοτ. praebent Εὐλογημένος ὁ καρπὸς MR I, 18 et aliud Ja Σὲ καλλονὴν τοῦ Ἰακὼβ MR VI, 482

139-144, I. VAN DEN GHEYN, o.c., 162[27-36]: Ἤδη μὲν οὖν τῷ τάφῳ παρατιθέντος τοῦ ἁγίου αὐτοῦ λειψάνου, τὴν νῆσον παραπλέον ἔτυχε πλοῖον ἐν ᾧ ἐπέπλει Γρηγόριός τις τοὔνομα, ἀφανῶς ὑπὸ δαίμονος ὀχλούμενος. Πράξας οὖν παρρησίᾳ καὶ σπαραχθεὶς βιαίως πρὸς τῇ θαλάσσῃ ἑαυτὸν καταποντίζων ἠπείγετο. Οἱ δὲ συμπλέοντες τούτου λαβόμενοι πρὸς τῇ νήσῳ ἀπέθεντο· ὀξέως οὖν ὑπὸ τοῦ δαίμονος μαστιζόμενος, τῷ σηκῷ τοῦ ἁγίου προστρέχει πεσών τε πρηνὴς ἐπ᾽ αὐτῷ καὶ τὴν αὐτὴν ἀναλώσας ἡμέραν ἕωθεν τῇ τοῦ ἁγίου πρεσβείᾳ πρὸς τὰ ἴδια ἀνενόχλητος ἀπῆρεν.
Ταῦτα οὖν καὶ Δημητρίῳ θαυματουργεῖ, ἐν ὀλίγαις ἡμέραις τοῦ ἀκαθάρτου πνεύματος ἀποκαθάρας.
145-150 I. VAN DEN GHEYN, o.c., 162[36]-163[2]: Μεθ᾽ ὃν τῶν δύο μοναζόντων ἐνεργεῖ τὴν παράδοξον ἴασιν, τὸν μὲν τοῦ ἀλάλου πνεύματος ἀπαλλάξας, τὸν δὲ ὑπὸ τοιούτου τιμωρούμενον καὶ ἀλύσεσιν κατεχόμενον, ἑκατέρων λύσας, ὑγιῆ παρεπέμψατο.

θεογεννῆτορ, εὐφημῶ,
τῆς ψυχῆς μου τὸν ζόφον ἀπέλασον
καὶ καταύγασον ψάλλειν σοι·
« Θεοτόκε, σὺ ὑπάρχεις εὐλογημένη ».

ᾠδὴ η′. *Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ*

Ἰλύος παθῶν ἀποκαθάρας
ψυχῆς νοητά, παμμάκαρ, ὄμματα,
χάριν τῶν ἰάσεων
εἴληφας τὴν ἄφθονον·
ὅθεν τὸν ἐμφωλεύοντα
ἀνθρώπῳ βάτραχον
ἀπήλασας ἐλαίου προσπόσει
σοῦ τῆς ἐφαπτούσης
τῷ μνήματι λαμπάδος.

Ταῖς θείαις στολαῖς ὡραϊσμένος
καὶ κάλλει τῆς ἀπαθείας σεμνυνόμενος
ἔφθασας, ὡς ἤλπισας,
ὅσιε Μακάριε,
τῶν ὀρεκτῶν τὸ ἔσχατον,
τῶν ἀγαθῶν τὴν πηγήν,
« τὸν κύριον ὑμνεῖτε » κραυγάζων
« καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

---

heirm. η′ EE 100, n. 141, Joannis 157 Ἰλύους Cn καθάρας Ja 158 νοητά, παμμάκαρ] τὰ νοητὰ μάκαρ Cn νότα παμμάκαρ Σρ 163 ἐλαίῳ Cn ἐλαίους Ja προσψαύσει Cp, verbum om. Cn προσπέσει Λ πρωπόσει Σρ 164 ὑφαπτούσης Cn A Ha Ja Σρ 165 λαμπάδας Cn 166 ὡραϊσμένος] ἠμφιεσμένος Ja 167 καὶ] τῷ Cn A Ha Ja 170 τῶν] πρὸς Ha Σρ 172-174 vv. varie intermittunt cdd.

161-165 I. VAN DEN GHEYN, o.c., 163^{6-7}: ... τοῦ μονάζοντος τὸν ἐμφωλεύοντα βάτραχον ἐν τῇ κοιλίᾳ τῇ τοῦ ἐλαίου προσπόσει ἀπήλασεν.

Μωσέως ἐζήλωσας τὸ πρᾶον
Δαβίδ τε τὸ ἄκακον, Μακάριε,
Ἰακὼβ τὸ ἄπλαστον,
τοῦ Ἰὼβ τὸ ἄμεμπτον,
f. 101v || τοὺς διωγμοὺς καὶ στίγματα
Παύλου τοῦ κήρυκος,
τοῦ Πέτρου τὴν ἀδίστακτον πίστιν
καὶ τὴν τῶν ὁσίων
πατέρων πολιτείαν.

θεοτ. Ναὸς καὶ παλάτιον τοῦ κτίστου
ὑπάρξασα, μόνη πανυπέρτατε,
πάντων οὐρανίων τε
τάξεων, μητρόθεε,
καὶ ἐπιγείων, πνεύματος
οἴκους ἀνάδειξον
ἡμᾶς καὶ τοῦ ἀνάρχου υἱοῦ σου
καὶ τοῦ πανανάρχου
πατρὸς εἰς τοὺς αἰῶνας.

175-183 troparium hoc alio substituitur in Cn Ha:
Κύκλῳ σου τὰ ὄμματα διάρας,
ἴδε συνηγμένα (συνημμένα Cn) νῦν (νῦν om. Ha) τὰ τέκνα σου
καὶ ἀνευφημοῦντά σου,
πάτερ, τὴν μετάστασιν (μετάσιν Ha)
καὶ εὐλογίαις ἅπαντας
θείαις ἀντάμειψαι·
τὸν κύριον ὑμνεῖτε <τὰ ἔργα
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.>

176 τε om. Ja ἄκακον] ἀνεξίκακον Ja 182 ὁσίων] σίων Cp 184-192 θεοτ. diversum in Cn A Ha Ja Σρ legimus:
Εἰς βάθη κακῶν ἀπερριμμένον (ἀπορριμμένον A)
καὶ ζάλη (ζάλης Ja) τῆς ἀπογνώσεως ποντούμενον,
ἴδε, ὑπεράγαθε
δέσποινα πανάμωμε,
καὶ μὴ παρίδῃς, δέομαι,
ἀλλ᾽ ἐπανάγαγε
ὑμνοῦντά με (με om. Λ) τὴν σὴν εὐσπλαγχνίαν
καὶ δοξολογοῦντα
εἰς πάντας (ἀεὶ εἰς Λ) τοὺς αἰῶνας.

179-180 Act. 13,50; II Tim 3,11; cfr. II Cor. 11, 24-27 Gal. 6,17
181 cfr. Matth. 16,16-18

ᾠδὴ θ'. *Εὔα μὲν τῷ τῆς παρακοῆς*
νοσήματι τὴν κατάραν εἰσῳκίσατο

Ἰδού σοι τὸν δρόμον τὸν καλὸν
τελέσαντι καὶ τοῦ βίου ἐκδημήσαντι
πύλαι οὐράνιαι, παμμάκαρ,
ἠνοίχθησάν σε ἔνδον δεξάμεναι,
Χριστὸς δὲ ἀγωνοθέτης διένειμε
τῆς ἀφθαρσίας σοι τὸν στέφανον.

Προχέει θαυμάτων ποταμοὺς
ἡ λάρναξ σου ὥσπερ κρήνη ἀδαπάνητος
παύουσα νόσους ψυχοφθόρους,
χειμάρρους παθημάτων ξηραίνουσα,
Χριστοῦ δὲ τὴν ἐκκλησίαν ἀρδεύουσα
πρὸς εὐκαρπίαν θείων πράξεων.

Ὡς Πέτρου καὶ Παύλου φοιτητὴν
καὶ σύσκηνον φοιτηταί σου ἐγνωκότες σε,
σῶμα τὸ σὸν αὐτῶν τῇ μνήμῃ
πιστῶς ἀνακομίζουσιν, ἄγοντες
ἡμέραν ἑορτῆς ἀγαλλόμενοι·
οὓς περιέποις σαῖς δεήσεσιν.

Ἡ ποίμνη σου σήμερον ἰδοὺ
τελοῦσά σου τὴν ἁγίαν, πάτερ, κοίμησιν
στέργει τοὺς πόνους, προσκυνοῦσα

heirm. θ' ΕΕ 98, n. 139, Joannis et Stephani 195 οὐράνιοι Cn Ha Ja Σρ: cfr. MITSAKIS, 33 § 63a 196 σε] σοι Ha 199 Προχέεις A 200 κρήνη] κρῖνον A ἀδαπάνητον A 203 ἀρδεύουσα] καταρδεύουσα Cn A Ha Ja Σρ 204 εὐκαρπίαν] εὐποιΐαν Ja 205-210 troparium deest in Cn A 210 περιέπεις Cp περιέπῃς Ja σαῖς om. Ja 211-216 troparium om. Ha Ja Σρ 211 ποίμνη] μνήμη A 212 τελοῦσά σου] τελέσασου A 213 προσκυνοῦσα] καρτεροῦσα Cn

199-202 I. VAN DEN GHEYN, o.c., 163^{9-11}: Πλείστων οὖν τῷ τάφῳ τοῦ ἁγίου συντρεχόντων καὶ κατάλληλον τοῖς νοσήμασιν τὴν ἴασιν δεχομένων, κόρον ἡ αὐτῶν ἐξήγησις ἐμποιεῖ...

193-194 cfr. II Tim. 4,7 197-198 cfr. II Tim. 4,8

τὴν κόνιν τῶν λειψάνων σου, ὅσιε,
ὡς ἄλλην κιβωτὸν ἁγιάσματος,
ἣν οὐρανόθεν ἐπευλόγησον.

θεοτ. Ἀπήμονας φύλαττε ἡμᾶς,
πανάχραντε, τοὺς σοὺς δούλους ἱκεσίαις σου
νόσου παντοίας καὶ πταισμάτων,
ἐχθρῶν τῶν ὁρατῶν ἀοράτων τε,
εἰρήνῃ καὶ ὁμονοίᾳ συνδέουσα
ποίμνην σου ταύτην τὴν τιμῶσάν σε.

216 ἐπευλόγησεν Cn 217-222 hoc diversum θεοτ. proferunt Cn A Ha Ja Σρ:
Ἰδού σε (Ἰδοῦσαι Cn A Ja Ἰδοὺ νῦν Ha) αἱ (σὲ Ha αἱ om Ja) πᾶσαι γενεαὶ
ἑκάστοτε (ἑκάστουτε A), ὡς προέφης, (ὥσπερ ἔφης Ja) μακαρίζουσι, (Luc. 1,48)
κόρη πανάμωμε, παρθένε·
Θεὸν γὰρ συλλαβοῦσα ἐκύησας
ἡμῖν ὁμοιωθέντα δι' ἄφατον
ἔλεος, μήτηρ ἀπειρόγαμε. (ἀειπάρθενε Ja)
219 νόσους cd.

IN SANCTUM ANDREAM STRATELATEM

Synaxarium, 907-909: "Ἄθλησις τοῦ ἁγίου μεγαλομάρτυρος Ἀ ν δ ρ έ ο υ τοῦ στρατηλάτου καὶ τῶν μετ' αὐτοῦ τελειωθέντων ... Οὗτος ὑπῆρχε κατὰ τοὺς καιροὺς τοῦ ἀσεβεστάτου Μαξιμιανοῦ, στρατευόμενος ἐν τῇ ἀνατολικῇ χώρᾳ ὑπὸ Ἀντίοχον τῆς ὅλης τάξεως στρατηγοῦντα. Ἀποσταλεὶς δὲ παρ' αὐτοῦ μεθ' ἑτέρων συστρατηλατῶν κατὰ τῆς Περσικῆς δυνάμεως, παρελθούσης ἤδη τοὺς Ῥωμαίων ὅρους καὶ τὴν ὑποκειμένην χώραν λυμαινομένης, ἐπικαλεσάμενος τὸν Χριστὸν καὶ τοὺς σὺν αὐτῷ πείσας ἐπικαλεῖσθαι, τοὺς Πέρσας ἐτρέψατο καὶ καταδιώξας διέφθειρε καὶ ἐπὶ τῇ ἀνελπίστῳ νίκῃ τοὺς σὺν αὐτῷ πρὸς τὴν τοῦ Χριστοῦ πίστιν, δι' ἧς τῶν πολεμίων περιεγένοντο, ἐπεσπάσατο. Διαβληθεὶς δὲ αὐτὸς καὶ οἱ σὺν αὐτῷ πρὸς Ἀντίοχον, παρέστη αὐτῷ ὡς κατάδικος. Καὶ αὐτὸς μὲν ἐπὶ κλίνης σιδηρᾶς πυρωθείσης ἁπλοῦται, οἱ δὲ σὺν αὐτῷ στρατιῶται ἐν τετραγώνοις ξύλοις καθηλοῦνται τὰς χεῖρας· εἶτα ὑπὸ χιλίων ἑτέρων στρατιωτῶν τοῦ Ἀντιόχου προστάξαντος τῶν ὁρίων τῆς χώρας ἀπελαύνονται, οὓς νουθετήσας ὁ ἅγιος μάρτυς πρὸς τὴν εἰς Χριστὸν μετήγαγε πίστιν. Τοῦτο γνοὺς ὁ Ἀντίοχος καὶ καταδιώξας αὐτούς τε καὶ τοὺς συνόντας τῷ ἁγίῳ ἐξ ἀρχῆς στρατιώτας καὶ αὐτὸν τὸν πανένδοξον μάρτυρα ξίφει ἀναιρεθῆναι προσέταξεν.

Sinait. gr. 632	= Στ, ff. 109^v-112
Sinait. gr. 631	= Σρ, ff. 74-75^v
Paris. Coislin. gr. 218	= Ha, ff. 120-122
Meteor. Metamorph. 150	= Φ, ad diem
Vat. gr. 2288	= Wl, ff. 153^v-154^v
Paris. Suppl. gr. 152	= Sc, ff. 204-205

Ὁ κανών· Ἰωάννου μοναχοῦ.

Ἦχος α'.

ᾠδὴ α'. *Σοῦ ἡ τροπαιοῦχος δεξιὰ*

Σήμερον εὐφραίνεται βροτῶν
ἡ ἐκκλησία καὶ τῶν ἀσωμάτων χοροὶ

tit. sigla Ἰωάννου μοναχοῦ in margine Στ Φ   Κανὼν εἰς τὸν ἅγιον ἀνδρέαν τὸν στρατηλάτην ποίημα ἰωάννου Σρ   tantum Ὁ κανὼν Ha Wl Sc, qui autem nomen auctoris om.
heirm. α' EE 1, n. 1, Joannis

ἐν τῇ πανιέρῳ σου ταύτῃ σκηνῇ
φαιδρῶς πανηγυρίζουσα,
μάρτυς ἀθλοφόρε,
τὴν ἄθλησίν σου δοξάζουσα.

Πόθῳ βδελυξάμενος Χριστοῦ
τῆς ἐπιγείου στρατείας τὸ φρύαγμα
τῶν ἀπεχθεστάτων τε καὶ βδελυρῶν
πνευμάτων τὰ στρατεύματα,
μάρτυς, ἀπελαύνεις,
θεόθεν χάριν δεξάμενος.

θεοτ. * Χαῖρε, ἡ τῆς χάριτος πηγή,
χαῖρε, ἡ κλῖμαξ καὶ πύλη οὐράνιος,
χαῖρε, ἡ λυχνία καὶ στάμνος χρυσῆ
καὶ ὄρος ἀλατόμητον,
ἡ τὸν ζωοδότην
Χριστὸν τῷ κόσμῳ κυήσασα.

ᾠδὴ γ'. *Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν*

Ἡ τῶν ἀφανῶν προγνωστικὴ
ἀξίως ἐνσκηνώσασα

5 ἀθλοφόροι Sc   6 δοξάζουσαν Φ   7 Πόθος Φ   9 τῶν ἀπεχθεστάτων τε] τὸν ἀπεχεοτάτων Σρ Φ   τε] δὲ Wl   13-18 θεοτ. PaR 11   14 οὐράνιος cdd.: cfr. MITSAKIS, 33 § 63a   18 χριστῶ Sc
heirm. γ' EE 1, n. 1, Joannis

19-25 PG 115,604^{A-B}: « Ὁ δὲ ἅγιος τοῦ Θεοῦ θεράπων τῆς τοιαύτης ἐξαπάτης τὸν τρόπον ἐκ θείας ἀποκαλύψεως ἐγνωκώς, παρέλαβε τοὺς αὐτῷ συγκάμνοντας καὶ διὰ τῆς αὐτοῦ παραινέσεως τὴν θείαν λαβόντας ἐπίγνωσιν καὶ κατὰ τὴν Ταρσέων μητρόπολιν τῆς Κιλικίας γέγονεν ἐπαρχίας. Ἦν γὰρ καὶ ἐκ πολλοῦ σκοπὸν ἔχων διὰ Πέτρου τοῦ τηνικαῦτα ὁσίως τῆς εἰρημένης προεδρεύοντος μητροπόλεως ... τῷ σωτηρίῳ προσαχθῆναι βαπτίσματι. Ἐξ ἀρχῆς μὲν γὰρ ... πιστὸς ὑπῆρχεν θεράπων Θεοῦ καὶ τῶν αὐτοῦ χαρισμάτων πεπληρωμένος, οὔπω δὲ μεταλαχὼν τοῦ θείου βαπτίσματος. cfr. B. LATYŠEV, *Menologii anonymi byzantini saeculi X quae supersunt*, II, Petropoli 1912, 298^{3-7}.

13 Cant. 4,12.15   14 Gen. 28,12   Ez. 44,1-2   15 Ex. 25,31   Ex. 16,33-34   16 Dan. 2,34.45

τῷ στρατηλάτῃ χάρις τῆς κρείττονος
καὶ πρὸ τοῦ θείου λουτροῦ ἀνέδειξεν
εὐσεβείας κήρυκα
Χριστῷ σαγηνεύοντα
τοὺς τῇ πλάνῃ τὸ πάλαι λατρεύοντας.

Χριστῷ τὰς ἐλπίδας ἀκλινῶς
ἐρείσας || ὁ ἀοίδιμος
καὶ τῷ σταυρῷ Ἀνδρέας φραξάμενος,
πολλοῖς ὀλίγοις παραταξάμενος,
κατ' ἐχθρῶν ἀνίστησι
τὰ τῆς νίκης τρόπαια
καὶ τῆς νίκης γεραίρει τὸν αἴτιον.

* Θεὸν συλλαβοῦσα ἐν γαστρί,
παρθένε, διὰ πνεύματος
τοῦ παναγίου, ἔμεινας ἄφλεκτος,
ἐπεὶ σὲ βάτος τῷ νομοθέτῃ Μωσῇ
φλεγομένη ἄκαυστα
σαφῶς προεμήνυσε,
τὴν τὸ πῦρ δεξαμένην τὸ ἄστεκτον.

---

21 τῆς] τοῦ Στ 22 ἀνέδειξας Sc 24 χριστοῦ Wl 25 τὸ om. Σρ Φ Wl Sc 26 Χριστῷ] θεῷ Sc 28 Ἀνδρέας] ἀνδρείως Sc 29 v. omnimo deest in Sc 30 κατεχθῶν Wl 33-39 θεοτ. PaR 12 36 ἐπεὶ σὲ] ἔπεισε Φ 37 φλεγομένην Ha 39 τοῦ πῦρ Wl ἀστέκτου Wl

hoc κάθ. post oden γ' Φ Wl, post oden ς' Sc et ante canonem Στ (f. 109) Σρ (f. 71) Ha (f. 119v) adiciunt:

Κάθισμα.
Ἦχος α'. *Τὸν τάφον σου, σωτήρ,*
Ἀνδρείᾳ τὴν ψυχὴν (τῆς ψυχῆς Sc)
κραταιούμενος, μάρτυς,
ἠφάνισας ἐχθροῦ
τὸ ἀνίσχυρον θράσος
καὶ χαίρων ἐνήθλησας
καὶ Θεῷ εὐηρέστησας·
ὅθεν ἅπαντες (ἅπαντας Sc)
τὴν παναγίαν σου μνήμην
ἑορτάζομεν (ἑορτάζωμεν Sc)
ἐν εὐφροσύνῃ καρδίας,
Ἀνδρέα πανόλβιε. (μακάριε Wl)

36-37 Ex. 3,2

ᾠδὴ δ'. *Ὄρος σε*
τῇ χάριτι τῇ θείᾳ κατάσκιον

Ἀγγέλου
φωτός σοι ἐν προσχήματι πρόσεισιν,
ἀλλ' οὐκ ἀπέστησε Θεοῦ,
ὅπερ ὑπῆρχε φωραθείς,
Ἀνδρέα πανόλβιε,
ὁ ζοφερὸς
καὶ τῆς κακίας δεινὸς εὑρετής,
ὃν εὐσεβείας λόγοις διήλεγξας.

Ἐπᾶραι
τῇ νίκῃ ἐπειρᾶτο ὁ δόλιος,
ὃν διελέγχων εὐσεβῶς,
« οὐκ ἀποστήσεις με Θεοῦ
τοῦ ζῶντος, ἀρχέκακε,
κατενεχθεὶς
τῷ τῆς ἐπάρσεως πτώματι »
ὁ ἀθλητὴς Ἀνδρέας ἀντέφησεν.

Οὐδόλως
θωπεύοντι ὑπήχθης τῷ δράκοντι,
οὐκ ἐκφοβοῦντι ἀπειλαῖς,
ἀλλ' ὥσπερ πύργος ἀσφαλής,

---

heirm. δ' EE 1, n. 1, Joannis 40-47 troparium om. Σρ Ha Φ Wl Sc 49 τὴν νίκην Wl δόλιος] δείλαιος Στ 55 Ἀνδρέας] ἀνδρείας Sc 56 Οὐδόλω Σρ Φ 57 θωπείαις Sc 58 ἐνφοβοῦντι Σρ Sc ἐφοβοῦντι Wl

---

40-55 PG 115,600A-B: Καὶ πῶς οἴεσθε τοῦτο τὸν ἀντικείμενον διάβολον συνετάραξεν, καθ' ἑαυτοῦ τὸ τρόπαιον λογισάμενον...; Ἀλλ' ὁ τοῦ Θεοῦ μέγιστος ἀθλητὴς ἐπὶ τὸ στάδιον κατὰ μέρος χωρῶν ... τὰ κρείττονα τῶν χαρισμάτων ἐλάμβανεν ἄνωθεν καὶ τῇ κατὰ δαιμόνων ἐπλούτει θαυματουργίᾳ. Πολλοὺς γοῦν ἡμέρας ἑκάστης ὑπὸ πνευμάτων ἀκαθάρτων ἐνοχλουμένους ἐλευθερῶν, καιρίαν πληγὴν ἐτίτρωσκε τὸν διάβολον καὶ μειζόνως κατεδουλοῦτο τὸν βάσκανόν τε καὶ ὑψηλόφρονα. cfr. B. LATYŠEV, o.c., 296^{16-23}.

40-41 II Cor. 11,14 51-52 cfr. Hebr. 3,12 59-62 cfr. Matth. 7,24; Luc. 6,48

'Ανδρέα πανένδοξε,
ἐπὶ τὴν πέτραν,
Χριστόν, τὴν βάσιν πηξάμενος,
ταῖς προσβολαῖς διέμεινας ἄσειστος.

θεοτ. * Ὑμνοῦμεν
τὸ μέγα καὶ φρικτόν σου μυστήριον·
f. 110v ὑπερκοσμίους γὰρ λα‖θὼν
ταξιαρχίας, ἐπὶ σὲ
ὁ ὢν καταβέβηκεν
ὡς ὑετὸς
ὁ ἐπὶ πόκον, πανύμνητε,
εἰς σωτηρίαν ἡμῶν τῶν ὑμνούντων σε.

ᾠδὴ ε'. *Ὁ φωτίσας*
τῇ ἐλλάμψει τῆς σῆς παρουσίας, Χριστέ,

Γενόμενος
ἐξ ἀγγέλου ὁ φύσει διάβολος
ἀγαθῆς δὲ
αὐθαιρέτῳ ῥοπῇ προαιρέσεως,
'Αντιόχῳ λάθρα προσιὼν
ἀνόμως τυραννοῦντι,
ἐνδιαβάλλει τὸν μάρτυρα.

---

63 ἄσειστος] ἀήττητος Σρ Ηα Φ Wl Sc 64-71 θεοτ. PaR 14; in locum θεοτ. Σρ Ηα Φ Wl Sc hoc aliud supponunt:
Ξύλον σε, / παρθένε, τῆς ζωῆς ἐπιστάμεθα PaR 14
71 τῶν ὑμνούντων σε] καὶ ἀνάπλασιν PaR
heirm. ε' EE 1, n. 1, Joannis 73 ὁ φύσει in margine eadem manus add. in Στ ὁ] οὗ Σρ Ηα Φ Wl 75 ῥοπῇ] τροπῇ Σρ Φ Wl Sc

---

72-78 B. Latyšev, o.c., 296[21-28]: Καὶ δῆτα πρὸς 'Αντιόχειαν διαβάντα τὸν στρατηλάτην μετὰ τὴν νίκην, διαβάλλει τοῦτον πρὸς 'Αντίοχον τὸν ἀνόσιον τύραννον διά τινων τῶν ὑπηρετουμένων αὐτῷ, ὡς εἴη τὰ χριστιανῶν 'Ανδρέας φρονῶν καὶ Θεὸν τὸν ἐσταυρωμένον ὁμολογῶν καὶ ὡς παρ' οὐδὲν τίθεται τὴν τῶν θεῶν θεραπείαν.

---

68 Apoc. 1,4.8 69-70 Ps. 71,6

'Ελλαμφθῆναι
τοὺς ὑμνοῦντας τὴν ἔνδοξον μνήμην σου
καὶ ῥυσθῆναι
τῆς ὁρμῆς τῶν παθῶν καθικέτευσον
τὸν σωτῆρα κύριον Χριστόν,
τὸν μόνον φωτοδότην,
χάριν, 'Ανδρέα, εὑράμενος.

θεοτ. * Τὰς αἰτήσεις
τῶν πιστῶς αἰτουμένων, πανύμνητε,
μὴ παρίδῃς,
ἀλλὰ δέχου καὶ ταύτας προσάγαγε
τῷ υἱῷ σου, ἄχραντε, Θεῷ
τῷ μόνῳ εὐεργέτῃ·
σὲ γὰρ προστάτην κεκτήμεθα.

ᾠδὴ ς'. *'Εκύκλωσεν*
ἡμᾶς ἐσχάτη ἄβυσσος

Ἑλόμενος
συγκακουχεῖσθαι, ἔνδοξε
'Ανδρέα, τῷ δεσπότῃ Χριστῷ,
τῷ σαρκὶ κακουχηθέντι διὰ σέ,
τούτῳ ἐπαξίως συνδεδόξασαι,
ὅτι Θεὸς
μισθαποδότης
ἀψευδὴς πέφυκεν.

---

79 'Ελλαφθῆναι Sc 80 τοὺς τὴν ἔνδοξον μνήμην σου σέβοντας Σρ Ηα Φ Wl Sc 82 κθικέτευσον Σρ 85 εὑράμενος cdd.: cfr. Psaltes, 211; Mitsakis, 65 86-92 θεοτ. PaR 15 86 Τὰς ἀντήσεις Wl 87 πιστῶν Σρ 92 προστάτιν PaR
heirm. ς' EE 1, n. 1, Joannis 93 'Ηλόμενος Sc 96 κακουχηθέντι] συγκακοῦχηθέντι Wl σὲ] σοῦ Sc 99 μισθαποδότη Wl

---

93-95 cfr. Hebr. 11,25 98-100 cfr. Hebr. 11,6

Οἰόμενος
ταῖς ἀπειλαῖς ἁλίσκειν σε
ὁ τύραννος, πανεύφημε,
πολλῷ μᾶλλόν σε ἀντέχεσθαι Χριστοῦ
f. 111 ζήλῳ εὐσεβείας || παρεθάρρυνε
τὸν ἀθλητὴν
τῆς ἀληθείας
καὶ πιστὸν μάρτυρα.

θεοτ. * Εὐφραίνονται
ἐν σοί, παρθένε ἄχραντε,
τοῦ γένους οἱ προπάτορες
τὴν Ἐδὲμ ἀπολαβόντες διὰ σοῦ,
ἣν ἐκ παραβάσεως ἀπώλεσαν·
σὺ γὰρ ἁγνὴ
καὶ πρὸ τοῦ τόκου
καὶ μετὰ γέννησιν.

ᾠδὴ ζ΄. *Σὲ νοητήν,*
θεοτόκε, κάμινον

Ἐξ ἀγαθοῦ
ἀγαθὰ προσφέρων σοῦ·
τοῦ τῆς καρδίας θησαυροῦ,

---

104 χριστῷ Σρ Φ χριστὸν Wl Sc 105 παρεθάρσυνεν Σρ Ha Φ Wl Sc 106 τὸν] ὡς Σρ Ha Φ Wl Sc 107 ἀληθείας] εὐσεβείας Στ Wl 109-116 θεοτ. PaR 16 115 καὶ προτοτόκου Wl 116 γέννσιν Wl
heirm. ζ΄ EE 1, n. 1, Joannis 118 προφέρων Ha Φ Wl Sc

101-108 B. Latyšev, o.c., 296[28]-297[5]: Εὐθὺς οὖν ἐκεῖνος ... γράμμασι τοῦτον διαφοβεῖν ἐπεχείρει καὶ συνταράττειν, « οἶδας, » δηλῶν « Ἀνδρέα, οἷος ἐγὼ περὶ τοὺς σεβομένους Χριστόν, βαρὺ πνέων, βαρὺ κολάζων, δεινῶς τούτους ἐξαναλίσκων· ἵν᾽ οὖν μὴ τὰ ὅμοια πάθῃς καὶ αὐτός, ἐπίσχες σου τὴν ἐπὶ τούτοις ὁρμὴν καὶ πρόσιθι τοῖς θεοῖς. Τί γὰρ δὴ καὶ σκοπῶν τὸν ὑπὲρ τοῦ Γαλιλαίου λόγον προβάλλῃ; » Πρὸς ταῦτα πάλιν ὁ τοῦ Χριστοῦ στρατιώτης· « οὐ φοβήσεις με τούτοις, » ἀντεδήλωσε « τύραννε, γενναιότερον δὲ καταστήσεις, ὡς ἂν κἀγὼ μετὰ πάντων νικήσας σου τὰς ἐπινοίας καὶ τὰς κολάσεις, στεφανηφόρος σὺν αὐτοῖς παραστήσομαι τῷ Χριστῷ καὶ τῶν αὐτῶν ἐκείνοις ἀπολαύσω καλῶν ». cfr. PG 600[C-D].

---

113 Gen. 3,21-24

τοὺς διώκτας μεταβαλών,
ἀθλοφόρε ἔνδοξε,
πέπεικας συμπάσχειν σοι
καὶ σὺν αὐτῷ προθύμως διώκεσθαι,
« εὐλογητὸς »
ἐκβοῶν « ὁ Θεὸς καὶ ὑπερένδοξος ».

Τῆς τῶν φρενῶν
ἀψευδοῦς ἱδρύσεως
προκινηθεὶς ὁ δυσσεβὴς
καὶ τοῦ θρόνου ἐξαναστάς,
σοῦ κατεστρατήγησεν,
ὅν, παρατασσόμενος
σὺν τῷ Χριστῷ, Ἀνδρέα πανεύφημε,
ὡς ἀδρανῆ ἐτροπώσω
δυνάμει θείας χάριτος.

Τῷ παναλκεῖ
εὐσεβῶς ῥωννύμενος
καὶ ἀηττήτῳ σου σταυρῷ,
τροπαιοῦχος ὁ ἀθλητὴς
κατὰ τῆς ἀλάστορος
πλάνης ἀναδέδεικται,
« εὐλογητὸς εἶ, δέσποτα, » κράζων σοι
« ὁ αἰνετὸς
τῶν πατέρων Θεὸς καὶ ὑπερένδοξος ».

θεοτ. * Χαῖρε, σεμνή·
τοῦ Ἀδὰμ τὸ κώδιον
ἐκ σοῦ προῆλθεν ὁ Χριστὸς
ἐνδυσάμενος ἀληθῶς,

---

121 ἔνδοξε] πέπεικας Σρ Ha Φ Wl Sc 122 πέπεικας] ἔνδοξε Σρ Ha Φ Wl Sc 123 αὐτοῖς Στ προθύμως διώκεσθαι] προθυμότατα ώκεσθαι Sc 124 εὐλογητὸς] ὁ αἰνετὸς Σρ Ha Φ Wl Sc et post αἰνετὸς varie orat. detruncant Ha Wl Sc 125 τῶν πατέρων θεὸς καὶ ὑπερένδοξος Σρ Φ 126-134 tropario caret Wl 126 Τῆς τῶν] Τῆσῶν Σρ 127 ἀψευδῶς Σρ Φ 131 ὃν] ᾧ Σρ Ha Φ Sc 139 τῆς] τοῦ Wl Sc 141 v. omnimo deest in Σρ εὐλογητὸς εἶ] εὐλογημένος Ha 142-143 vv. varie intermittunt Wl Στ Ha Φ Sc 144-152 θεοτ. PaR 18; Σρ Ha Φ Wl Sc proferunt θεοτ. Χαῖρε, πηγὴ PaR 17 146 ἐκ σοῦ] ἐξ οὗ Στ

ὁ ὑπερυψούμενος
ὅλον με τὸν ἄνθρωπον
f. 111v δι' εὐσπλαγχνίαν || ἀκατάληπτον,
ὁ αἰνετὸς
τῶν πατέρων Θεὸς καὶ ὑπερένδοξος.

ᾠδὴ η'. *Ἐν καμίνῳ παῖδες Ἰσραὴλ*

Ὡς κακοῦργος ὁ θεοσεβὴς
φρουρούμενος ἐβόα
Ἀνδρέας τῷ ἐν τῷ τάφῳ
φρουρηθέντι καὶ νεκρῶν
τοὺς τάφους κενώσαντι·
« εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου
τὸν κύριον, ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

Ὡς εἰρήνης εὐαγγελισταὶ
οἱ πρότερον διῶκται
ἐβόων, τῶν ἀνομούντων
τὴν παράνοιαν τρανῶς
ἀφ' ὕψους ἐλέγχοντες·
« εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου
τὸν κύριον, ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

θεοτ. * Τὴν ἀσπόρως καὶ ὑπερφυῶς
ἐξ ἀστραπῆς τῆς θείας
τεκοῦσαν τὸν μαργαρίτην

151 post αἰνετὸς cetera excidit Στ
heirm. η' EE 1, n. 1, Joannis 155 ante ἐν scripsit τοῦ Wl, post ἐν om. τῷ Ha 158-161,167-170 vv. varie detruncant cdd. 166 ἐφ' ὕψους Στ ἐλέχοντες Wl 171-179 θεοτ. PaR 18 173 τεκοῦσα Φ Wl Sc

173-174 cfr. Matth. 13,46

τὸν πολύτιμον, Χριστόν,
ὑμνήσωμεν λέγοντες·
« εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου
τὸν κύριον, ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

ᾠδὴ θ'. *Τύπον τῆς ἁγνῆς λοχείας σου*

Ῥείθρῳ βαπτισθεὶς καὶ πνεύματι
τῷ παναγίῳ, ἀθλοφόρε ἀοίδιμε,
τὸ σωτήριον
τοῦ διδασκάλου ποτήριον
τῇ ἐκχύσει τοῦ αἵματος πέπωκας·
διὸ καὶ ἐπαξίως
ἡ τελευτή σου μεμακάρισται.

Κρήνη δαψιλὴς ἰάσεων
ἐκ τῶν ῥανίδων ἔβλυσέ σου τοῦ αἵματος,
ἀλλὰ καὶ ἡμᾶς
τοὺς ἀνυμνοῦντας τὴν μνήμην σου
τῶν ψυχῆς τε παθῶν καὶ τοῦ σώματος
πρεσβείαις, ἀθλοφόρε,
ταῖς ἱεραῖς σου ἐλευθέρωσον.

176-179 vv. excidunt Στ Wl 176 κυρίου om. PaR 176-179 σὲ ἀπαύστως πάντα τὰ ἔργα / παρθένε εὐλογοῦμεν / καὶ ὑπερυψοῦμεν / ἁγνὴ εἰς τοὺς αἰῶνας Σρ Ha Φ Sc; post πάντα Sc, post ὑπερυψοῦμεν Ha orat. intermittunt 179 αὐτὸν εἰς] εἰς πάντας PaR
heirm. θ' EE 1, n. 1, Joannis heirm. 1 Τύπος Στ Σρ Ha 186 τελευθὴ Wl μακαρίζεται Σρ Ha Φ Wl Sc 187 Κρήνη] Ἡρήνει Sc 193 ἱεραίσου Wl

187-188 B. LATYŠEV, o.c., 299[1-5]: ... κατ' ἐκεῖνον δὲ τὸν τόπον, ἐν ᾧ τοῦ μάρτυρος Ἀνδρέου κατέρρευσεν αἷμα, πηγὴ ἀνεδόθη, παντοίων νοσημάτων ἰατήριον ἄμισθον, ἥτις μέχρι καὶ σήμερον μένει, τὰ πρὸς θεραπείαν πᾶσι παρέχουσα νάματα ... cfr. PG 115, 609[B].

180-181 cfr. Matth. 3,11; Marc. 1,8; Luc. 3,16; Act. 1,5

θεοτ. * Ὢ τῶν ὑπὲρ νοῦν θαυμάτων σου!
σὺ γάρ, παρθένε, μόνη ὑπὸ τὸν ἥλιον
πᾶσι δέδωκας
f. 112 κατανοεῖν τὸ καινό‖τατον
θαῦμα, πάναγνε, τῆς σῆς γεννήσεως
τῷ νῷ ἀκαταλήπτου,
δι' ἣν σὲ πάντες μεγαλύνομεν.

194-200 θεοτ. PaR 20; Σρ Ha Φ Sc θεοτ. referunt Ἄπας ἐγκωμίων, πάναγνε, PaR 20 195 ὑπὸ] ὑπὲρ PaR 199 τῷ νῷ] τῆς σῆς Wl τὸ τῆς PaR 200 δι' ἧς Wl διὸ PaR

19 AUG. *CANON* XX

IN SANCTUM BARTHOLOMAEUM SEMERENSEM VEL ROSSANENSEM

Synaxarium (Selecta), 909^{36-37}: Τοῦ ὁσίου πατρὸς ἡμῶν Βαρθολομαίου, ἀρχιμανδρίτου τῆς εὐαγοῦς μονῆς τῆς Νέας Ὁδηγητρίας Θεοτόκου τοῦ Ῥηχινιάτου.

Mess. gr. 136 = Mf, ff. 324v-329
Vat. gr. 2069 = Vb, ff. 258-260

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
f. 325 Τὸν σὸν γεραίρω, πάτερ, ‖ εὐκλεῆ βίον.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ἁρματηλάτην Φαραὼ ἐβύθισε*

Ταῖς τῶν παθῶν παρεκτροπαῖς ὁ δείλαιος
τὸν νοῦν σκοτούμενος,
τὸ τῆς ψυχῆς ὄμμα
ἡδοναῖς ἐζόφωσα·
ἀλλὰ σύ, πάτερ, δίδου μοι
φωτισμὸν σαῖς πρεσβείαις
τοῦ ἀνυμνῆσαι τὴν ἔνθεον
καὶ ἀγγελικὴν πολιτείαν σου.

* Ὅλος Θεῷ ἀνατεθείς, μακάριε,
ἀπὸ νεότητος,

troparia asteriscis signata ed. in AA.SS. Sept. VIII (1762) 797-800 invenies (cfr. Commentarium)
tit. tantum Ὁ κανὼν Vb, qui acrostichidem in rubrica silet
heirm. α' EE 219, n. 314, Joannis

9-10 AA.SS. Sept. VIII (1762) 811 § 4: Οὗτοι τὸν ἀοίδιμον τοῦτον παῖδα ... Θεῷ ... προσαγάγοντες διὰ τοῦ θείου βαπτίσματος... Βασίλειον αὐτὸν ἐπωνόμασαν, θεόθεν πρὸς τοῦτο καθοδηγούμενοι ...

καθάπερ γῆ πίων
θεῖον σπόρον δέδεξαι
ταῖς τῆς καρδίας αὔλαξιν,
ὃν ἀρδεύσας τοῖς πόνοις,
τὸν στάχυν ἑκατοστεύοντα
εὐαγγελικῶς, πάτερ, ἤνεγκας.

* Νεανικῶς πρὸς τοὺς ἀγῶνας ὥρμησας
τοὺς τῆς ἀσκήσεως
καὶ τῆς ὁδοῦ ταύτης
θεμέλιον τέθηκας
τὴν πολιτείαν, ὅσιε,
καὶ φυγὰς τῆς πατρίδος,
Βαρθολομαῖε, γενόμενος,
ἐν τούτοις ἐκτήσω τὸ ἄτυφον.

θεοτ. Σὲ καθαρὰν ὁ καθαρὸς εὑράμενος,
ἐν σοὶ ἐσκήνωσε
τὸ παλαιὸν αἶσχος
καθάρας τῆς φύσεως·
διὸ Βαρθολομαῖός σε
καθαρῷ συνειδότι
ἐνθέως ὑπερηγάπησε
f. 325v || γνησίως λατρεύσας σοι, δέσποινα.

ᾠδὴ γ′. *Οὐρανίας ἁψῖδος*

Οὐρανίων ἁψίδων
ἐπιποθῶν οἴκησιν,

---

19 ὁδοῦς Vb 24 τὸ om. AA.SS. 25 εὑράμενος codd.: cfr. PSALTES, 211; MITSAKIS, 65
heirm. γ′ EE 220, n. 315, Joannis

11-16 AA.SS. o.c., 811-812 § 5: ... καὶ ... δαψιλῆ τὰ σπέρματα τῆς παιδεύσεως ἐν τοῖς τῆς διανοίας κόλποις ὁσημέραι παραλαβών, πολὺν τὸν καρπὸν ἐν βραχεῖ καὶ ὑπὲρ τὴν ἡλικίαν προήνεγκεν.
AA.SS. o.c., 812 § 7: ... καὶ αὐξανομένῳ αὐτῷ τά τε πρῶτα τῆς ἀρετῆς συνηυξάνετο σπέρματα ἄλλα τε πολλὰ προσετίθετο ... ἐν τῇ τούτου καρδίᾳ, ὡς ἐν ἀγαθῇ καὶ πίονι γῇ φυτευόμενα ...
17-24 cfr. AA.SS. o.c., 812 § 6-7.

---

11 Gen. 49,15 11-16 cfr. Luc. 8,8

πάντων γεηρῶν ὑπερῇρας
σαυτοῦ τὸ φρόνημα,
τὴν ἀκτησίαν δὲ
ὡς κτῆμα θεῖον ἐκτήσω
ἄνω πρὸς τὴν ἄυλον
κτίσιν φερόμενος.

* Νοημάτων ἐπλήσθης
τῶν γραφικῶν, ὅσιε,
ἐκ τῆς ἐπιμόνου μελέτης
νοὸς ὀξύτητι
καὶ χάριν εἴληφας
τοῦ εὐφυῶς σαφηνίζειν
τὰ πολλοῖς ἀπόρρητα,
βάθει τοῦ πνεύματος.

θεοτ. Γεγραμμένον σε τόμον
προβλεπτικοῖς ὄμμασι
πάλαι ὁ προφήτης προεῖδε,
μῆτερ ἀπείρανδρε,
προαινιττόμενος
τὸν σὸν ἀνέκφραστον τόκον·
τῷ γὰρ λόγῳ γέγονας
τόμος θεόγραφος.

ᾠδὴ δ′. *Σύ μου, Χριστέ, κύριος, σύ μου καὶ δύναμις*

* Ἐπιζητῶν
τοὺς φιλαρέτους καὶ σώφρονας,
μόνοις τούτοις
συνδιῆγες, ὅσιε,

---

46 ἐκφυῶς AA.SS. 54 ἀνέφραστον Vb
heirm. δ′ EE 219, n. 314, Joannis

57-63 AA.SS. o.c., 812 § 8: ... τὴν οἰκουμένην περιών, τοὺς φιλαρέτους ἐπεζήτει καὶ σώφρονας ... Καὶ τούτοις ἀεὶ συγγινόμενος καὶ τὸν ἑκάστου βίον περισκοπῶν, ἐν βραχεῖ πᾶν εἶδος ἀρετῆς ἐρανίσατο.

49-51 Is. 8,1-4

ἑκάστου βίον περισκοπῶν
καὶ ὡς ἐκ λειμῶνος
τὸ κρεῖττον ἐρανιζόμενος,
f. 326 συ || χνάκις μεταβαίνων
ἔθνη, πόλεις καὶ κώμας,
ξένος, πένης, τοῖς πᾶσιν ἀγνώριστος.

* Ῥακοφορῶν
καὶ μονοχίτων διήνυες,
κεκαρμένος,
ἀσκεπής, ἀνήλιπος,
ἐξ ἀσιτίας ἐκτετηκὼς
καὶ ζηλῶν ἐν τούτοις
Ἰάκωβον τὸν θεάδελφον,
βαστάζων ἐν χειρί σου
σταυρικὴν βακτηρίαν
ὡς Ἀνδρέας ὁ μέγας πρωτόκλητος.

* Ἀναδραμὼν
τὴν οἰκουμένην, ἀοίδιμε,
καὶ συλλέξας
ἐκ πάντων τὸ χρήσιμον,
πρὸς βίον αὖθις ἐρημικὸν
ἑαυτὸν μετῆξας
καὶ ὀρειφοίτης γενόμενος,
θηρίοις συνδιῆγες
ἀβλαβὴς διαμένων·
ἀρετὴν γὰρ καὶ θῆρες σεβάζονται.

---

61 βίου Vb 64 καταβαίνων Vb 65 πόλει Vb 73 τὸν Ἰάκωβον τὸν ἀδελφόθεον AA.SS. 74 χερσὶ AA.SS. 75 σταυρικὴν om. AA.SS. 79 καὶ om. AA.SS.

67-76 AA.SS. o.c., 812 § 8: Περιενόστει δὲ ... τοὺς μὲν πόδας ἀνήλιπος, ἐνὶ δὲ χιτωνίσκῳ... ῥακώδει... τὸ σαρκίον περισκεπόμενος ... ὅλος ἐξ ἀσιτίας ἐκτετηκὼς... εἶχε δὲ καὶ σταυρικὴν ἐν χερσὶν βακτηρίαν, ὡς ὁ τῶν ἀποστόλων πρωτόκλητος.

79-80 AA.SS. o.c., 812 § 8: ... ἐκ πάντων ... συλλέξας τὸ χρήσιμον ...

81-82 AA.SS. o.c., 813 § 9: ... ἔγνω ... πρὸς τὸν ἐρημικὸν μετατίθεσθαι βίον καὶ ἥσυχον.

83-85 AA.SS. o.c., 813 § 10: Αὐτὸς δὲ ὀρειφοίτης, ὡς ἐπόθει, γενόμενος καὶ τῆς μετὰ ἀνθρώπων διαγωγῆς τὴν μετὰ θηρίων ἀνθελόμενος οἴκησιν, ὅλον ἑαυτὸν ἀνάγει πρὸς τὸν ποθούμενον.

θεοτ. Ἴσον πατρὶ
Λόγον, ἁγνή, ἀπεκύησας
τοῖς ἀνθρώποις,
ἴσον χρηματίσαντα
καὶ μορφωθέντα τὸ καθ' ἡμᾶς
καὶ τροπὴν ἢ φύρσιν
τῶν φύσεων μὴ δεξάμενον,
ὃν ἵλεων γενέσθαι
τῇ σῇ ποίμνῃ δυσώπει,
παναγία παρθένε θεόνυμφε.

ᾠδὴ ε'. *Ἵνα τί με ἀπώσω*

* Ῥωμαλέως τὸ ψῦχος
f. 326v καὶ τὴν τοῦ χειμῶνος || δριμύτητα ἤνεγκας,
ἀλλ' ὁ πάντα βλέπων
φανεροῖ σε τοῖς πᾶσι κρυπτόμενον,
μὴ ἐάσας λύχνον
ὑπὸ τὸν μόδιον κεκρύφθαι,
ἀλλ' ἐμφαίνων τὸ φῶς καλυπτόμενον.

* Ὡς πιδάκων λιβάδες
τῶν σῶν ὀφθαλμῶν ἀπερρύη τὸ δάκρυον,
αἱ δὲ παραινέσεις
ὑπὲρ μέλος ὑπῆρχον σειρήνιον,

---

heirm. ε' EE 219, n. 314, Joannis 100 φανεροῖς σε Vb 101 ἐάσις Vb 102 κεκρύφθαι] κούπτεσθαι Vb 103 ἐμφαῖων Vb

---

97-98 AA.SS. o.c., 813 § 10: ... τὴν τοῦ χειμῶνος δριμύτητα προσευχῇ καὶ νηστείᾳ προσεκαρτέρει ...

99-103 AA.SS. o.c., 814 § 13: Τοιοῦτον μὲν αὐτὸν γεγονότα καὶ τοσαύτης παρὰ Θεοῦ δόξης τετυχηκότα, οὐκ ἦν ἄρα εἰκὸς μέχρι παντὸς ταῖς ἐρήμοις, ὡς ὑπὸ μόδιον λύχνος, ἐναποκρύπτεσθαι ... Καὶ διὰ τοῦτο φανεροῖ αὐτὸν ὁ ἀεὶ τοῦ ἡμετέρου γένους κηδόμενος καὶ δῆλον τοῖς ἀγνοοῦσι τόνδε τὸν τρόπον καθίστησιν.

104-105 AA.SS. o.c., 813 § 10: ... τρυφὴν ἡγεῖτο ... ἀδάπανον τὴν διὰ προσευχῆς πρὸς Θεὸν ὁμιλίαν καὶ τὸ ἀέναον δάκρυον.

106-107 AA.SS. o.c., 823 § 31: Ἦν γὰρ ὁ λόγος αὐτοῦ γλυκὺς ὑπὲρ μέλι, σειρήνιος ...

101-102 cfr. Matth. 5,15; Marc. 4,21; Luc. 11,33

τὸ σεμνὸν δὲ ἦθος
καὶ ἡ τοῦ τρόπου κοσμιότης
σωφροσύνης ὑπῆρχε διδάσκαλος.

θεοτ. * Πίστει, κόρη, ζεούσῃ
ναὸν θεῖον ἤγειρε Βαρθολομαῖός σοι,
προκατασκευάσας
ἑαυτὸν τῷ Θεῷ ναὸν ἔμψυχον,
τῷ ἐκ σῶν αἱμάτων
ναὸν αὐτῷ συστησαμένῳ
καὶ θεώσαντι τοῦτον, πανάμωμε.

ᾠδὴ ϛ'. *Ἱλάσθητί μοι, σωτήρ·*
πολλαὶ γὰρ αἱ ἀνομίαι μου

* Ἀστέρα σε φαεινὸν
ἡ Καλαβρία ἐγνώρισεν
ἀκτῖσι τῶν ἀρετῶν
τὰ κύκλῳ φωτίζοντα·
Ἰταλία πᾶσα γὰρ
καὶ γῆ Σικελίας
τῆς σῆς χάριτος ἀπήλαυσεν.

* Τῷ Ἠλιοὺ μέν ποτε
ὁ κόραξ ἄρτον προσέφερε,
νῦν δὲ τῇ σῇ προσευχῇ
f. 327 ἄρτος ἤχθη || πρόσφατος,
μεθ' οὗ τὸ ἀναίμακτον

---

115 τῷ] τῶν AA.SS.
heirm. ϛ' EE 220, n. 315, Joannis 123 καὶ γῆ om. Vb

127-131 AA.SS. o.c., 817 § 17: Οὔπω δὲ ἡ τρίτη ὥρα τῆς ἡμέρας παρῆν, καθ' ἣν τὴν ἀναίμακτον ἱερουργίαν τελεῖσθαι νόμος χριστιανοῖς, καὶ ἰδοὺ παραγίνεται πρὸς αὐτούς, ὡς ἐκ θείας ἀποστολῆς, ἀνήρ τις τῶν ἐκ γειτόνων φιλόχριστος, ἄρτους αὐτοῖς προσφάτους τε καὶ λαμπροὺς ἐπικομιζόμενος, δι' ὧν τήν τε θείαν ἱερουργίαν τελέσαντες ... τὰ εἰκότα τῷ Θεῷ ηὐχαρίστησαν.

125-126 III Regn. 17,4-6

τελέσαντες θῦμα,
ηὐχαρίστησαν τῷ κτίσαντι.

* Τῶν μοναζόντων πληθὺς
προσέτρεχε πανταχόθεν σοι
καὶ προεστῶτες πολλοί,
ἀφέντες προΐστασθαι
καὶ σοὶ προσερχόμενοι,
βέλτιον ἡγοῦντο
ὑπὸ σοῦ, πάτερ, ἰθύνεσθαι.

θεοτ. Ἐμὲ τὸν φρενοβλαβῶς
τοῖς πάθεσιν ὑποκύψαντα,
θεογεννῆτορ ἁγνή,
πρεσβείαις σου ἔγειρον
καὶ τὸν νοῦν μου ἴθυνον,
πρὸς τὰς θείας τρίβους
εὐδρομεῖν καθοδηγοῦσά με.

Κοντάκιον.

Ἦχος β'. *Τὴν ἐν πρεσβείαις*

Τὸν ἐν ἀσκήσει
φαεινότατον λαμπτῆρα
καὶ μονοτρόπων
ἀκριβέστατον κανόνα
πάντες Βαρθολομαῖον εὐφημήσωμεν·
τῶν ἀρετῶν γὰρ ὤφθη
σεπτὸν τῷ ὄντι καταγώγιον·
Χριστῷ γὰρ πρεσβεύει
ὑπὲρ πάντων ἡμῶν.

---

132 πληθὺς] τὸ πλῆθος AA.SS. 136 σοὶ] πρὸς σὲ Vb 138 σοῦ om. Vb
heirm. κοντακ. HR 215 heirm. 1 ἐν om. Vb

132-138 AA.SS. o.c., 818 § 21: Οὐ μὴν ἀλλὰ καὶ πολλοὶ ἐπιστάται καὶ ποιμένες ἑτέρων μονῶν, τὴν ἔνθεον αὐτοῦ πολιτείαν ζηλώσαντες, τὸ ἄρχειν παραιτησάμενοι, προσεφοίτων τούτῳ καὶ τὸ ὑπ' αὐτοῦ ἰθύνεσθαι τοῦ ἰθύνειν ἄλλους εἰκότως προέκρινον ...

⟨Ὁ⟩ οἶκος.

* Ἄστρων ἠμαύρωσεν ἀγλαΐαν
καὶ σελήνης τὸ σέλας
τοῦ ἡλίου τὸ φῶς
ἐκ τῆς ἑῴας ἀνίσχοντος,
τῶν καθ' ἡμᾶς δὲ θείων πατέρων
ἀρεταῖς ὑπερήρθη Βαρθολομαῖος,
327v τῶν ‖ ἀσκητῶν
γεγονὼς μιμητὴς τῶν ἀνέκαθε
καὶ πρᾶξιν γνώσει κοσμήσας
ἐν ἀμφοῖν οὐδενὸς ὤφθη δεύτερος·
διὸ χοροῖς συναυλίζεται
τῶν ἁγίων, ὧν γέγονε ζηλωτής,
πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

ᾠδὴ ζ'. *Τῶν Χαλδαίων ἡ κάμινος*

* Ῥώμης πάπας ἠγάσθη σου
τὴν σεπτὴν πολιτείαν
καὶ τῶν λόγων τὴν σύνεσιν,
πάτερ Βαρθολομαῖε,
καὶ δόξῃ τετίμηκεν
ὡς μαθητὴν τοῦ Χριστοῦ
εἰσοικισάμενος.

* Ἐπιγνοὺς ἐκ τῶν λόγων σου
βασιλεὺς αὐτοκράτωρ

οἶκ. AA.SS. o.c., 799 § 35 1 ἠμαύρωσεν] ἠμαύρων Vb ἠμαύρησεν AA.SS. ἀγλαΐα AA.SS. 3 τὸ φῶς] σαφῶς cdd. AA.SS. 22 post πρεσβεύων cetera om. Mf ἀπαύστως om. AA.SS.
heirm. ζ' EE 228, n. 327, Andreae heirm. 1 ἡ κάμινος] ὁ τύραννος Vb

---

146-152 AA.SS. o.c., 819-820 § 24: Καὶ τοσοῦτον αὐτῷ τε πάπᾳ καὶ τοῖς λογάσι τοῦ κλήρου ὤφθη ἀσπαστὸς καὶ σεβάσμιος καὶ οὕτως αὐτοῦ ὑπερεθαύμασαν τὸ φιλόσοφον καὶ τὴν τῶν λόγων ἠγάσθησαν σύνεσιν, ὡς μεγίστην αὐτῷ ἀπονεῖμαι τιμὴν καὶ πάντα αὐτοῦ τὰ αἰτήματα προθύμως ἀποπληρῶσαι.
153-159 AA.SS. o.c., 817-818 § 20: Οἵ, ἐπεὶ ἔγνων τὸν ἄνδρα καὶ τὴν τούτου κατέμαθον ἀρετὴν καὶ ὅσην πρὸς Θεὸν εἶχε τὴν παρρησίαν, τοσοῦτον ᾐδέσθησαν καὶ οὕτως αὐτῷ προσανεῖχον, θαυμάζοντες αὐτοῦ τὴν ἐν λόγοις ἰσχύν τε καὶ τὸ ἀθώπευτον ... cfr. etiam AA.SS. o.c., 821 § 28.

ὡς πατρὶ προσανεῖχέ σοι
σὺν πάσῃ τῇ συγκλήτῳ,
θαυμάσας τὸν ζῆλόν σου
καὶ τὴν ἐν λόγοις ἰσχὺν
καὶ τὸ ἀθώπευτον.

* Ὑπεστάλη ὁ τύραννος
τοῖς σοῖς, πάτερ, ἐλέγχοις
καὶ χαρίζεται ἄνδρας σοι,
οὓς εἶχεν ὑπευθύνους,
βροχισθῆναι μέλλοντας
καὶ τοῖς σκολόπων δεσμοῖς
ἀναρτηθήσεσθαι.

θεοτ. Κιβωτὸν ἁγιάσματος
καὶ θεόγραφον πλάκα,
ἱλαστήριον ἅγιον
εἰδότες σε, παρθένε,
βοῶμεν τῷ τόκῳ σου·
« εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

f. 328 ‖ ᾠδὴ η'. *Ἑπταπλασίως κάμινον*

* Λελαμπρυσμένον χάριτι
πρακτικῆς ἐπιγνώσεως,
φανερὸν ἡ φήμη πανταχοῦ σε ἔθηκεν·
ἰδοὺ ἐκ περάτων σοι

---

162 ἄνδρας σοι] ἀνδράσι AA.SS. 164 μέλλοντας om. AA.SS. 173 v. detruncat Mf
heirm. η' EE 219, n. 314, Joannis 174 Λελαμπρυσμένος Vb 175 ὑπογνώσεως AA.SS. v. 176 πανταχοῦ σε φανερὸν ἡ φήμη ἔθηκεν AA.SS.

160-166 AA.SS. 820 § 24: Ἠδέσθησαν τούτου τὴν θέαν καὶ τοὺς ἐλέγχους καὶ τυράννων ἀπήνειαι καὶ οὓς εἶχον ὑπὸ δεσμοῖς ὑπευθύνους καὶ ἑτοίμους ἤδη πρὸς βρόχον καὶ ἀνάρτησιν, μετὰ πολλῆς τῆς περιχαρείας αὐτῷ ἐδωρήσαντο, τῆς τοῦ θανάτου ψήφου τούτους ἐλευθερώσαντες.
174-179 cfr. AA.SS. o.c., 815-816 § 15.

---

167 Ps. 131, 8 168 Ex. 31,18

πλῆθος λαοῦ συνέρρεεν
ἐν ἐξαγορίᾳ καὶ ψυχῆς κατανύξει,
βοῶντες τῷ σωτῆρι·
« ἱερεῖς εὐλογεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

* Ἔρει ποτέ σοι οἴκοθεν
πειρασμὸν μέγαν, ὅσιε,
ἡ τοῦ ἀρχεκάκου φθονερὰ ἐπίνοια
τοὺς λίαν γνησίους σοι
συκοφάντας ἐκφήνασα,
ὧν τὰς λοιδορίας ὡς ἀράχνιον νῆμα
διέλυσας, κραυγάζων
τῷ Θεῷ εὐχαρίστως·
« λαὸς ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

* Ἡ πανάμωμος δέσποινα,
ἡ φρουροῦσά σε πάντοτε
ἐκ τῆς σκευωρίας τῶν ἐχθρῶν σου, ὅσιε,
τῶν μάτην φθονούντων σοι,
ἀβλαβῆ σε ἐτήρησε
πρόνοιαν ποιουμένη τῶν μελλόντων σωθῆναι
ταῖς σαῖς διδασκαλίαις,
Βαρθολομαῖε μάκαρ.
⟨— ⏑́ — — — ⏑́ —
— ⏑́ — — — ⏑́ —.⟩

θεοτ. Βάτον σε πρὶν ἑώρακεν
ὁ θεόπτης πυράφλεκτον,

---

179 post κατανύξει cetera om. AA.SS. 182-183 vv. detruncat Mf v. 182 ἱερεῖς ἀνυμνεῖτε Vb 184 Ἔρρει cdd. (= AA.SS.) pro Αἴρει acrostichidis causa 187 σοι] σου AA.SS. 193 v. detruncatur in Mf αὐτὸν εἰς] εἰς πάντας Vb, qui cetera om. 195 σε om. AA.SS. 202-203 vv. omnimo desunt in cdd. et AA.SS.

184-201 cfr. AA.SS. o.c., 823-825 § 32-35,38.
189-190 AA.SS. o.c., 825 § 38: Καὶ τούτους καθάπερ τι νῆμα ἀράχνιον ... διαλύσας ...

204-205 Ex. 3,2

ὡς τὸ θεῖον πῦρ ἐν τῇ γαστρὶ βαστάσασαν,
μητρόθεε δέσποινα·
διὸ πυρὶ τοῦ τόκου σου
f. 328v φλέξον τῶν παθῶν μου τὰς ‖ ὑλώδεις ἀκάνθας
καὶ κάθαρον τὸν νοῦν μου
εὐσεβῶς ἀναμέλπειν·
« λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

ᾠδὴ θ'. *Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανὸς*

* Ἰδού σοι τῶν καμάτων τὰς ἀμοιβὰς
καὶ τὰ γέρα Χριστὸς ἐχαρίσατο
ἐν οὐρανοῖς
τάξεσιν ἀγγέλων συντεταχώς,
μεθ' ὧν ἐπαγαλλόμενος,
πρόσωπον πρὸς πρόσωπον καθορᾷς
Χριστοῦ τὸ θεῖον κάλλος
καὶ τὴν ἄφραστον δόξαν,
Βαρθολομαῖε πανάοίδιμε.

* Ὃν λέλοιπας διάδοχον σῆς ἀρχῆς,
φοιτητήν σου γενόμενον γνήσιον
καὶ μιμητὴν
καὶ τῆς σῆς ἀσκήσεως ζηλωτὴν
ταῖς ἀρεταῖς ἐκλάμψαντα,
ἀνώτερον τήρει παντὸς κακοῦ
σὺν πάσῃ τῇ σῇ ποίμνῃ,
ἣν ηὔξησας σοῖς πόνοις
καὶ διδαχαῖς σου, πανάοίδιμε.

* Ναμάτων ζωηρρύτων θεία πηγὴ
ἡ σορὸς τῶν λειψάνων σου πέφυκεν,
ἣν εὐλαβῶς
νῦν περικυκλοῦντες πόθῳ πολλῷ

---

206 βαστάσαν Vb 213 v. varie detruncant cdd. heirm. θ' EE 220, n. 314, Joannis 215 τὰ om. AA.SS. γέρα] ἔργα Vb 227 ἐκλάψοντα AA.SS. 230 ἣν ηὔξησας om. Vb, idem in margine add. Mf

---

219 cfr. I Cor. 13,12

πιστῶς περιπτυσσόμεθα
ὄμμασι καὶ χείλεσι καὶ νοΐ,
ὡς οὖσαν μυροθήκην
ἐνθέων χαρισμάτων,
διπλῆν ὠφέλειαν καρπούμενοι.

329 θεοτ. || Νενίκηνται τῆς φύσεως οἱ θεσμοὶ
τῷ σῷ τόκῳ, πανάμωμε δέσποινα,
μήτηρ Θεοῦ·
σύλληψις γὰρ ἄσπορος ἐπὶ σοὶ
καὶ γέννησις ἀλόχευτος,
ὑπὲρ φύσιν ἄμφω καὶ ὑπὲρ νοῦν·
διό σε ὡς αἰτίαν
πρόξενον μυστηρίου
ἀκαταπαύστως μεγαλύνομεν.

238-239 vv. desunt in AA.SS. 248 πρόξενος Vb 249 μεγαλύνωμεν Vb

IN SANCTUM BARTHOLOMAEUM SEMERENSEM VEL ROSSANENSEM

Mess. gr. 136 = Mf, 329v-333

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Τὸν σὸν βίον, παμμάκαρ, ᾄσμασι στέφω.

Ἦχος δ'.

ᾠδὴ α'. *Ἀνοίξω τὸ στόμα μου*

Ταῖς θείαις λαμπόμενος
f. 330 ἀγλαομόρφοις || φαιδρότησι
καὶ συναυλιζόμενος
οὐρανοβάμοσι,
ταῖς τῶν εὐχῶν σου
καταύγασον ἀκτῖσι
τὸν νοῦν μου, μακάριε,
τοῦ ἀνυμνῆσαί σε.

Ὁ νοῦς σου πυρσούμενος
ταῖς θεϊκαῖς ἐπιγνώσεσι
τοῦ κόσμου παρέδραμε
πᾶσαν προσπάθειαν,
Βαρθολομαῖε,
καὶ δόξης οὐρανίου
δεδεγμένος ἔφεσιν
ταύτην ἐκτήσατο.

---

tit. Ἕτερος κανὼν ψαλλόμενος εἰς τὸ μεσονύκτιον φέρων ἀκροστιχίδα τήνδε· Τὸν σὸν βίον παμμάκαρ ἄσμα (sic) στέφω, sed, aliis tropariis elapsis aliisque additiciis, sic acrostichis constat:

Τον σον βιον παμμακαρ ασμα<.>ι στεφω [ωωω].

heirm. α' EE 99, n. 141, Joannis 4 οὐρανωβάλωσιν

Νεκρώσας τὰ μέλη σου
δι' ἐγκρατείας, μακάριε,
νοὸς καθαρότητα
θείαν ἐπλούτησας
καὶ τοῦ πνεύματος
τὰς μυστικὰς ἐμφάσεις
δεξάμενος, οἴκημα
Θεοῦ γεγένησαι.

θεοτ. Σιὼν νῦν εὐφραίνεται
τῇ πανηγύρει σου, δέσποινα,
ἐν ταύτῃ· μετέστης γὰρ
πρὸς τὰς ἀγήρως μονάς,
παραπεμπόντων
τάξεων οὐρανίων
πρὸς ὑπερουράνιον
σκηνήν σε, πάναγνε.

ᾠδὴ γ'. *Τοὺς σοὺς ὑμνολόγους, θεοτόκε,*

Ὁ βίος σου ἄυλος ἐδείχθη·
καὶ γὰρ ἡμιλλήθης ἐν σαρκὶ
τοῖς ἀσωμάτοις, ὅσιε,
f. 330v || ὑπάρχων μετὰ σώματος
καὶ τῆς σαρκὸς τὸ φρόνημα
τῷ πνεύματι καθυπέταξας.

Νηστείᾳ σαυτὸν καὶ κακουχίᾳ
ἐκδοὺς ἐκ νεότητος, σοφέ,
βίον πλανήτην ἔζησας
κειροκόμης, ἀνέστιος,
μονοχίτων, ἀνήλιπος
καὶ χαμαιεύνης ἀλώμενος.

---

28 ἀγήρω   29 παραπεμπόντων pro παραπεμπουσῶν: cfr. MITSAKIS, 158-159
heirm. γ' EE 100, n. 141, Joannis   44 ἀλόμενος

39-44 cfr. notas ad canonem XX, vv. 67-76.

---

17 cfr. Col. 3,5   25 cfr. Ps. 96,8   37 Rom. 8,6

Βιώσας ὡς ἄσαρκος ἐν βίῳ,
χαρίτων ἐπλήσθης θεϊκῶν,
τῇ χάριτι τοῦ πνεύματος
γενόμενος θεόσοφος
καὶ βλύζων ὥσπερ νάματα
τοὺς λόγους ἐν κατηχήσεσιν.

θεοτ. Ἰσχὺς ἡ τοῦ πνεύματος συλλήβδην
τὸν θεῖον χορὸν τῶν μαθητῶν
διὰ νεφέλης ἤθροισε
τῇ νοητῇ νεφέλῃ σοι
πανευλαβῶς συστείλασθαι
τὸ θεοδόχον σου σκήνωμα.

ᾠδὴ δ'. *Ὁ καθήμενος ἐν δόξῃ*

Ὁλοτρόπως ἀποκλίνων
τὸν ἀνθρώπινον ἔπαινον
καὶ τὴν κούφην δόξαν,
σεαυτὸν ἐν σπέει κατέκλεισας,
τὸ θεῖον κάλλος ἐκεῖθεν
ὀπτριζόμενος
καὶ μελέτῃ πλατύνων ψυχῆς τὰ νοήματα.

Νοῦν ἐνστήσας ἡγεμόνα
τῶν παθῶν, ἱερώτατε,
κούφως ὑπερέπτης
ἡδονῆς ἁπάσης τὰ θήρατρα,
τῇ ἐγκρατείᾳ μαράνας
πᾶσαν ὄρεξιν
καὶ πρὸς μόνον Θεὸν ἀνυψώσας τὴν ἔφεσιν.

---

heirm. δ' EE 95, n. 135, Joannis   64-70 troparium, N incipiens, loco amotum et post v. 98 a scriba transcriptum, prout acrostichis et metrus postulant in hanc sedem restituimus

---

60-63 AA.SS. o.c., 813 § 10: Καὶ δὴ ἔν τινι στενωτάτῳ σπηλαίῳ ἑαυτὸν ἐγκλεισάμενος ... προσευχῇ καὶ νηστείᾳ προσεκαρτέρει ...

64-65 cfr. IV Mac. 1,7 et similes locos

Περιτρέχων ἐπεζήτεις
τοὺς ἀσκήσει προλάμποντας
καὶ σοφίᾳ λόγων
f. 331 ‖ καὶ τούτοις ἀεὶ συγγινόμενος,
ὥσπερ ὁλκὰς ἐπληρώθης
θείων πράξεων,
τὴν καλὴν ἐμπορίαν, σοφέ, κομισάμενος.

Ἀπεδύσω τὸν χιτῶνα
τῆς νεκρώσεως, ὅσιε,
ἀσκήσεως πόνοις
τήξας ὡς ἀράχνη τὸ σῶμά σου,
καταστολὴν δὲ τὴν θείαν
νῦν ἐνδέδυσαι
καὶ τοῦ ξύλου τῆς ἄνω ζωῆς ἐνετρύφησας.

θεοτ. Μακαρία σὺ ἐν πάσαις
γενεαῖς ὤφθης, πάναγνε,
ὡς τεκοῦσα Λόγον
τὸν ἐν τοῖς ἁγίοις μακάριον,
ὃς τοῦ ὁσίου τὴν μνήμην
συνεδόξασεν,
ἐν τῇ μνήμῃ σου γῆθεν αὐτὸν προσλαβόμενος.

ᾠδὴ ε΄. *Ἐξέστη τὰ σύμπαντα*

Μεστὸν ὄντα ζήλου σε
καὶ παρρησίας ἔμπλεων,
βασιλεῖς ᾐδέσθησαν Αὐσόνων
συγκάθεδρόν τε καὶ ὁμοδίαιτον
σὲ πεποιηκότες καὶ τῆς σῆς
γλώττης κρεμαννύμενοι,
ὡς Θεῷ προσανεῖχόν σοι.

---

heirm. ε΄ EE 100, n. 141, Joannis

71-77 cfr. notas ad canonem XX, vv. 57-63.
92-98 cfr. notas ad canonem XX, vv. 153-159.

---

84 cfr. Gen. 2,9; Prov. 3,18; Apoc. 2,7   85-86 cfr. Luc. 1,48

f. 331ᵛ ‖ Ἀθροίσας ὡς μέλιττα
ἐν σίμβλῳ τῆς καρδίας σου
πάσης ἀρετῆς κάλλιστον εἶδος,
χαρίτων μέλι ἐκηροπλάστησας,
ὅπερ ἀποστάζον ἐκ τῶν σῶν
χειλέων ἐπήγαζε
γλυκασμὸν κατανύξεως.

θεοτ. Κιβωτόν σε ἔμψυχον
ὑπάρχουσαν, πανάμωμε,
σήμερον εἰς ἅγια ἁγίων
μετακομίζει ὁ ἐνοικήσας ἐν σοὶ
καὶ σὲ ὑποδέχονται σεπτῶς
τάξεις αἱ οὐράνιαι
ὡς κυρίαν τῆς κτίσεως.

ᾠδὴ ϛ΄. *Ἐβόησε*
προτυπῶν τὴν ταφὴν τὴν τριήμερον

Ἀστέρα σε
ἀρετῆς πανταχοῦ φημιζόμενον
Ῥώμης πάπας
ὡς Χριστοῦ μαθητὴν ὑπεδέξατο,
αἰδεσθεὶς τὸν τρόπον
καὶ θαυμάσας τῶν λόγων τὴν σύνεσιν.

Ῥημάτων σου
τοὺς ἐλέγχους ᾐδέσθησαν τύραννοι

---

heirm. ϛ΄ EE 125, n. 172, anonimi

99-101 AA.SS. o.c., 812 § 8: ... ἵνα ἐκ πάντων, οἷά τις φιλεργὸς μέλιττα, συλλέξας τὸ χρήσιμον ...
113-118 cfr. notas ad canonem XX, vv. 146-152.
119-120 cfr. notas ad canonem XX, vv. 160-166.

103-105 cfr. Am. 9,13   106 Ex. 25,10 ss.; Jos. 3,14-17

καὶ λησταί σου
τὴν ἐμφάνειαν μόνην κατέπτηξαν
καὶ προσέπεσάν σου
τοῖς ποσίν, ἐκβαλόντες τὸ ἄγριον.

θεοτ. Ἀράτωσαν
f. 332 παμφαεῖς οὐρανῶν πύλας ἄγ‖γελοι·
ἡ γὰρ πύλη
τοῦ Θεοῦ, ἣν ὁ Λόγος διώδευσεν,
αἰρομένη γῆθεν,
οὐρανῶν ὑπερβαίνει τὰς ἄντυγας.

Κάθισμα.

Ἦχος δʹ. *Ταχὺ προκατάλαβε*

Τῇ πράξει τετήρηκας
τὸ κατ' εἰκόνα Θεοῦ,
τῇ γνώσει ἐφώτισας
τῶν φοιτητῶν τὰς ψυχάς,
πατὴρ ἡμῶν ὅσιε,
τέλειον δὲ κατ' ἄμφω
σεαυτὸν ἀναδείξας,
εἴληφας τῶν καμάτων
πολλαπλοῦς τοὺς στεφάνους,
πρεσβεύων ὑπὲρ ἡμῶν
τῶν ἐν πίστει τιμώντων σε.

---

heirm. καθ. HR 63

121-124 AA.SS. o.c., 820 § 24: Αἱμοχαρεῖς ... τινὲς ἄνδρες ... λῃστείαις τε καὶ ἐμφυλίοις φόνοις παιδιόθεν ἐντεθραμμένοι, ὡς μόνην τὴν αὐτοῦ ἐμφάνειαν ἑωράκεισαν, καταπλαγέντες τὴν ἀπαστράπτουσαν ἐκ ταύτης θείαν αἴγλην τοῦ πνεύματος, ὑπότρομοι καὶ δέους μεστοὶ τοῖς ποσὶν ἐκείνου προσέπεσαν καὶ ... πρὸς ἔννομον πολιτείαν εἰς τὸ ἑξῆς μετετέθησαν.

125-126 cfr. Ps. 23,7 127-128 Ez. 44,1-2 κάθ. 8-9 cfr. II Tim. 4,8

ᾠδὴ ζʹ. *Οὐκ ἐλάτρευσαν τῇ κτίσει οἱ θεόφρονες*

Συνεκίνει κατὰ σοῦ τὰ πειρατήρια
ὁ τῶν δικαίων ἐχθρός,
ἀλλ' ἡ τηροῦσά σε
μητρόνυμφος δέσποινα
ταῦτα μετέστρεψε,
προνοουμένη
τῶν ὑπὸ σοῦ, μακάριε,
καθ' ἑκάστην σωζομένων.

Μετανοίας ὁδηγὸς σὺ ἐχρημάτισας,
πάτερ μακάριε,
πρὸς ἐξαγόρευσιν
πάντας ὑφελκόμενος
ταῖς κατηχήσεσι
τοὺς κραυγάζοντας·
« εὐλογητὸς εἶ, κύριε
ὁ Θεός, εἰς τοὺς αἰῶνας ».

Ἀπολαύουσα τῶν σῶν εὐχῶν ἡ μάνδρα σου
ἡ πασῶν ἄρχουσα,
τοὺς κατασκόπους ἐχθροὺς
ῥᾷον ἐχειρώσατο
ἐπὶ τῇ μνήμῃ σου
f. 332v ‖ καὶ λελύτρωται
βαρβαρικῆς ἁλώσεως
διὰ σοῦ, Βαρθολομαῖε.

〈Σ— — ⏑́ — — — ⏑́ — — — ⏑́ — —
— — — ⏑́ — —
— — — ⏑́ — — ⏑́

---

heirm. ζʹ EE 100, n. 141, Joannis heirm. 1 τὴν κτίσιν 145-146 vv. detruncati in cd. 155-162 troparium, Σ incipiens, desideratur

---

131-138 cfr. notas ad canonem XX, vv. 184-201.
139-146 cfr. notas ad canonem XX, vv. 174-179.

— ´ — — ´ — —
´ — — ´ — —
— — ´ — —
— — — ´ — ´ — —
— — ´ — — — ´ —.⟩

θεοτ. Ἱερῶς τὴν ἱερὰν Βαρθολομαῖός σε
ὑπερηγάπησεν,
ἄσπιλε μήτηρ Θεοῦ,
ὃν νῦν ἀντεδόξασας,
τῇ μεταστάσει σου
ἀξιώσασα
τῶν γεηρῶν ἀμείψασθαι
τῶν ἁγίων τὰς ἐπαύλεις.

ᾠδὴ η'. *Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ*

Σοῦ τὴν ἱερὰν σορὸν κυκλοῦντες,
ἐν ᾗ τὸ καρτερικόν τε καὶ πολύαθλον
σῶμά σου κατάκειται,
χάριν ἀρυόμεθα
τῶν ἰαμάτων, ὅσιε,
Χριστῷ κραυγάζοντες·
« τὸν κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Τῷ Παύλῳ κατ' ἴχνος ἑπομένῳ,
ὁ φθόνος ἐξήγειρέ σοι σκόλοπας
τοὺς γνησιωτάτους σοι
ὁπλίσας εἰς πόλεμον,
ὧν τὰς παγίδας πέφευγας

---

168 ἀξιώσασου
heirm. η' EE 100, n. 141, Joannis 176 κραυγάζοντα 178-179 vv. abrumpuntur

---

180-185 cfr. notas ad canonem XX, vv. 184-201.

180-181 II Cor. 12,7

σθένει τοῦ πνεύματος·
« τὸν κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Ἐν τῇ πανιέρῳ μεταστάσει
τῆς ὑψηλοτέρας τῶν ἄνω δυνάμεων
πᾶσι συνταξάμενος
καὶ εἰπὼν τὴν ἔξοδον
καὶ δείξας τὸν διάδοχον,
τὸν ὄντως ἄξιον,
ηὐτρέπισας σαυτὸν χαρμοσύνως
πρὸς τὴν μακαρίαν
πορείαν τὴν ἐνθένδε.

θεοτ. Φωτὶ λαμπρυνθεῖσα τῆς ἁγνείας,
f. 333 φωτὸς ‖ οἰκητήριον γεγένησαι·
ὅθεν πρὸς ἀίδιον
φῶς σε μετεσκήνωσεν
ὁ φωτοδότης κύριος,
ἁγνὴ θεόνυμφε,
ὃν πάντα εὐλογοῦσι τὰ ἔργα
καὶ ὑπερυψοῦσι
εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ'. *Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατὸς*

Ὡς Ἠλιοῦ ἐπήρθης
τῷ ἅρματι τῶν ἀρετῶν,

186-188 vv. intermittit cd. 204 πάντες 205-206 vv. reciduntur heirm. θ' EE 106, n. 149, Andreae

---

189-197 AA.SS. o.c., 825 § 39: Φθασάσης δὲ τῆς ἡμέρας, καθ' ἣν τῆς ... θεοτόκου τὴν ἱερὰν μετάστασιν ἑορτάζομεν, συναθροίσας τὴν ὑπ' αὐτῷ ὁσίαν πληθὺν καὶ τούτοις τὰ περὶ τῆς ἐκδημίας εἰπὼν δηλώσας τε τὸν τὴν προστασίαν τῶν ἀδελφῶν ἀναδέξασθαι ἄξιον ... ἑαυτὸν γηθοσύνως πρὸς τὴν μακαρίαν πορείαν προσευτρεπίσας ...
207-210 AA.SS. o.c., 825 § 39: Τοῦτον τοίνυν προσκαλεσάμενος ... καὶ

207-208 IV Regn. 2,11

τῷ νέῳ Ἐλισσαίῳ προλιπὼν
τὴν σὴν χάριν πολλαπλῆν,
ἣν διατήρησαι εὐχαῖς
μετὰ τῆς ποίμνης σου.

Ὡς τερπνὴν μυροθήκην
εὐωδίας πνευματικῆς
κυκλοῦντές σου τὴν λάρνακα σεπτῶς,
ἐνθυμούμεθα τὴν σὴν
ἀγγελικὴν διαγωγήν,
πάτερ, τὰ τέκνα σου.

Ὡς τῆς ποίμνης σου ταύτης
πολιοῦχος καὶ οἰκιστής,
ἐπόπτευε ἡμᾶς διὰ παντὸς
σαῖς πρεσβείαις ἱεραῖς,
Βαρθολομαῖε, τῷ Θεῷ
νῦν παριστάμενος.

Θεοτ. Ὡς θρόνον γεγονυῖαν
τοῦ παντάνακτος Ἰησοῦ,
οἱ θρόνοι σε τῶν ἄνω λειτουργῶν
ὑπεδέξαντο, σεμνή,
καὶ πρὸς παστάδας νοητὰς
σεπτῶς εἰσήγαγον

213.219.225 Ω extrema acrostichidis littera, ter repetitur   213 τερπνὴ

...δαψιλεστέραν αὐτοῦ τὴν τοῦ ἀγαθοῦ πνεύματος ἐνέργειαν ἐπευξάμενος καὶ χαριτώσας αὐτόν, ὡς ... τὸν Ἐλισσαῖον ὁ διφρηλάτης ... Ἠλιού, τὴν ἡγεμονίαν αὐτῷ τοῦ ὑπ' αὐτὸν νοητοῦ Ἰσραὴλ ἐγχειρίζει.

209-10 cfr. IV Regn. 2,9-10   225 Dan. 7,9

10 AUG. ***CANON* XXII**

IN SANCTUM BARTHOLOMAEUM SEMERENSEM VEL ROSSANENSEM

Mess. gr. 136 = Mf, ff. 333-336
Vat. gr. 2069 = Vb, ff. 255v-258

Ὁ κανών.

Ἦχος δ'.

ᾠδὴ α'. *Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος*

Ἐκ βρέφους τὴν ἀρετὴν ἐπόθησας
f. 333v καθα‖ρωτάτῳ νοΐ
καὶ σεαυτὸν προσῆξας τῷ Θεῷ
ὡς θυσίαν εὐπρόσδεκτον,
Βαρθολομαῖε ὅσιε·
ὑπὲρ ἡμῶν αὐτὸν ἱκέτευε.

Εἰδώς σου τὸ καθαρὸν ὁ κύριος
τοῦ σώματος καὶ ψυχῆς,
Βαρθολομαῖε, χάριτος αὐτοῦ
ἐκ σπαργάνων ἐπλήρωσε·
μὴ διαλίπῃς πάντοτε
αὐτῷ πρεσβεύειν ὑπὲρ πάντων ἡμῶν.

Ὑπάρχων πεπληρωμένος χάριτος
τοῦ θείου πνεύματος,
ἔτι νεάζων, μάκαρ, ἐκ τῶν σῶν
γεννητόρων ἐξέφυγες·
Βαρθολομαῖε ὅσιε,
ὑπὲρ ἡμῶν Χριστὸν ἱκέτευε.

tit. Ἕτερος κανὼν Mf
heirm. α' EE 94, n. 133, Joannis   11 διαλείπης cdd.   12 πρέσβευε Vb

15-16 AA.SS. o.c. 812 § 6: ... λάθρα τοῦ πατρικοῦ ἔξεισιν οἴκου ...

3-4 cfr. I Petr. ep. 2,5

θεοτ. Παρθένε, θεοκυῆτορ δέσποινα
καὶ προστασία πιστῶν,
μὴ διαλίπης πάντοτε, ἁγνή,
ἱκετεύειν, πανάμωμε,
πρὸς τὸν υἱόν σου, ἄχραντε,
τοῦ οἰκτειρῆσαι τὰς ψυχὰς ἡμῶν.

ᾠδὴ γ'. *Εὐφραίνεται ἐπὶ σοὶ*

Ἐμάκρυνας σεαυτὸν
καὶ ἐν τοῖς ὄρεσιν ἐλθὼν ᾤκησας,
Βαρθολομαῖε ὅσιε,
μόνῳ τῷ Θεῷ παριστάμενος.

Δεήσεσιν ἐκτενῶς
καθικετεύων τὸν Θεὸν ἔλεγες,
Βαρθολομαῖε ὅσιε·
« ἵλεως γενοῦ μοι, φιλάνθρωπε ».

f. 334 ‖ Τὸ ἔλεος τὸ αὐτοῦ
ἐξαποστείλας ἐπὶ σέ, γέγονας,
Βαρθολομαῖε ὅσιε,
ἥλιος ἀστράπτων τοῖς δόγμασιν.

θεοτ. Ὡς ἔχουσα, ἀγαθή,
τοὺς ἀμετρήτους οἰκτιρμούς, αἴτησαι
τὸν σὸν υἱὸν πάντοτε
σώζεσθαι τὴν ποίμνην σου, δέσποινα.

ᾠδὴ δ'. *Ἐπαρθέντα σε ἰδοῦσα ἡ ἐκκλησία*

Ἀσωμάτων ἁμιλλώμενος τῇ ἀσκήσει,
Βαρθολομαῖε, γέγονας

21 διαλείπης cdd.
heirm. γ' EE 94, n. 133, Joannis 34 ἐξαποστείλας: nominativus absolutus
heirm. δ' EE 94, n. 133, Joannis

25-32 cfr. AA.SS. o.c., 812-813 § 8-10.

32 Am. 7,2

κῆρυξ εὐσεβείας
πάντας τε ἐφώτισας
καὶ μέλπειν ἐδίδαξας·
« δόξα τῇ δυνάμει σου, κύριε ».

Ἐξελήλυθεν ὁ φθόγγος σου τῶν ῥημάτων,
Βαρθολομαῖε ὅσιε,
ἐν τῇ οἰκουμένῃ·
διὸ καὶ προσέδραμον
εἰς σὲ οἱ βουλόμενοι
σώζεσθαι αἰτοῦντες συνεῖναί σοι.

Τὴν ἀγάπην μιμησάμενος τοῦ δεσπότου,
Βαρθολομαῖε ὅσιε,
ὡς αὐτοῦ θεράπων,
πάντας ὑπεδέχεσο
καὶ ψάλλειν ἐδίδασκες·
« δόξα τῇ δυνάμει σου, κύριε ».

θεοτ. Ἀνερμήνευτος ὁ τόκος σου, θεοτόκε·
ἄνευ ἀνδρὸς γὰρ ἔτεκες
τὸν πᾶσαν τὴν κτίσιν
ἐν χειρὶ κατέχοντα·
αὐτῷ οὖν κραυγάζομεν·
« δόξα τῇ δυνάμει σου, κύριε ».

ᾠδὴ ε'. *Σύ, κύριέ μου, φῶς*
εἰς τὸν κόσμον ἐλήλυθας

f. 334v ‖ Σύ, πάτερ, ἐκ Θεοῦ
ἐδιδάχθης ὡς πρότερον
Παχώμιος ὁ θεόπτης

46.64 vv. detruncat Mf 52 αἰτούμενοι Vb 56 ὑπεδέχετο cdd.
57 ἐδίδασκε Vb 63 αὐτοῦ Mf κραυγάζωμεν Vb
heirm. ε' EE 94, n. 133, Joannis

47-58 cfr. AA.SS. o.c., 815-816 § 15-16.

47-49 cfr. Ps. 18,5

καὶ ἐστήσω ἐν πέτρᾳ
τὸν τῆς μονῆς θεμέλιον.

Ἐφρούρεις ἀσφαλῶς
τὸ σὸν ποίμνιον, πάτερ σοφέ,
ποιμένων χριστομιμήτως
καὶ τοὺς θῆρας διώκων,
Βαρθολομαῖε ὅσιε.

Ἐκ πάντων ὁ Χριστὸς
ἀφθονίαν σοι δέδωκε
πρὸς σύστασιν τοῦ ποιμνίου
καὶ μετάδοσιν πάντων,
Βαρθολομαῖε ὅσιε.

θεοτ. Ὡς ἔχουσα ἀεὶ
εὐσπλαγχνίαν ἀμέτρητον,
σπλαγχνίσθητι, θεοτόκε,
καὶ περίσωζε ταύτην
τὴν ποίμνην σου παντοίας ὀργῆς.

ᾠδὴ ς'. *Θύσω σοι*
μετὰ φωνῆς αἰνέσεως, κύριε,

Ζηλώσας
τὸν Ἀβραὰμ ἐν τῷ σὲ ὑποδέχεσθαι
πάντας ἐν τοῖς σοῖς ξενῶσι

---

70 Ευφροῦρεις Vb   75-79 troparium, in suo loco pretermissum, in imam partem paginae transtulit Vb
heirm. ς' EE 94, n. 133, Joannis   85 Ζηλώσας pro Ἐζήλωσας: cfr. MITSAKIS, 160-161

85-90 AA.SS. o.c., 820 § 26: ... οἴκους ἀνὰ τὴν μονὴν ἐπιτηδείους πρὸς τὴν τῶν ξένων ὑποδοχὴν δομησάμενος δαψιλῶς τε ἐν τούτοις τὰ πρὸς χρείαν τῶν παραβαλλόντων προσευτρεπίσας, οὕτως εὐψύχως τοὺς προσφοιτῶντας ἐθεράπευεν, ἑκάστῳ τὰ πρόσφορα προτιθέμενος, ὡς μηδένα τῶν ἐκεῖσε παραβαλλόντων διαμαρτεῖν τῆς καταλλήλου χρείας καὶ δεξιώσεως.

68-69 cfr. Luc. 6,48   70-73 cfr. Joh. 10,11ss.   85-88 Gen. 18,1-8

φιλοξενῶν θεραπείαν τε ποιούμενος
ὡς μαθητὴς Χριστοῦ,
Βαρθολομαῖε, πατὴρ ἡμῶν ὅσιε.

Σύ, πάτερ,
ἐκ θανάτου πικροῦ ἐλυτρώσω πολλούς,
ὡς ὁ ἐν Μύροις τὸ πρῶτον,
στρατιώτας μέλλοντας θνήξεσθαι,
καὶ σὺν τούτῳ,
Βαρθολομαῖε, ἐστέφθης, πατὴρ ἡμῶν.

Προστάτης
ὀρφανῶν καὶ χηρῶν ἐχρημάτισας
f. 335 ‖ καὶ βακτηρία τυφλωττόντων,
καταπονουμένων παραμυθία
καὶ πενήτων,
Βαρθολομαῖε, πατὴρ ἡμῶν ὅσιε.

θεοτ. Ἐλέησον,
θεοτόκε παρθένε πανύμνητε,
τοὺς ἐπὶ σοὶ τὰς ἐλπίδας
κεκτημένους πάντας καὶ μὴ ἐάσῃς
πειρασθῆναι,
ἀλλὰ ῥῦσαι ἐκ πάσης κακώσεως.

ᾠδὴ ζ'. *Ἐν τῇ καμίνῳ*
Ἀβραμιαῖοι παῖδες τῇ περσικῇ

Ἐν τῇ καμίνῳ
τῶν πειρασμῶν σου ἐκαρτέρησας
πᾶσαν

---

93 ὁ om. Vb   ἐν] ἐκ Vb   94 θνήξασθαι Vb   99 τυφλώττων Mf
108 ἐκ om. Vb   post oden ς' Vb profert κάθ. Τῇ πράξει τετήρηκας, quod vide in p. 260
heirm. ζ' EE 94, n. 133, Joannis

91-96 cfr. notas ad canonem XX, vv. 160-166.

τὴν ζωήν σου μάρτυς ὡς ἀληθῶς
προαιρέσει τε γενόμενος,
Βαρθολομαῖε ὅσιε,
τῷ Θεῷ εὐχαρίστεις ἐν ἅπασιν.

Οὐκ ἐσαλεύθης
ταῖς προσβολαῖς ταῖς τῶν θλίψεων,
πάτερ·
βοηθὸν γὰρ ἔσχες τὸν σὸν Θεὸν
ἐνισχύοντά σε πάντοτε,
πρὸς ὃν ἐκραύγαζες·
« ὑπερύμνητε κύριε, δόξα σοι ».

Χριστομιμήτως
ὑπὲρ τῶν πειραζόντων σὺ ἔλεγες
« ἄφες,
ὁ Θεός, τὰς τούτων ἐπιβουλὰς »
εὐχαρίστως τε ὑπέψαλλες·
« εὐλογημένος εἶ
ἐν τῷ ναῷ τῆς δόξης σου, κύριε ».

θεοτ. Σὲ προστασίαν
ἐν πειρασμοῖς πάντες κεκτήμεθα,
μήτηρ
f. 335v τοῦ Θεοῦ τῶν ὅλων, ὡς ἀλη‖θῶς,
ὃν ἱκέτευε, πανύμνητε,
κινδύνων ῥύσασθαι
καὶ παντοίων ἡμᾶς περιστάσεων.

ᾠδὴ η'. *Χεῖρας ἐκπετάσας Δανιὴλ*

Τέλος τῶν πολλῶν σου καὶ μακρῶν
καμάτων εἴληφας,

115 εὐχαρίστεις pro ηὐχαρίστεις: cfr. PSALTES, 203; MITSAKIS, 54   121 πρὸς σὸν Mf   129 v. abrumpit Mf   131 πάντες] πάντοτε Vb
heirm. η' EE 94, n. 133, Joannis

123-129 cfr. AA.SS. o.c., 824 § 35-36.

123-126 cfr. Luc. 23,34

Βαρθολομαῖε πατήρ,
μετὰ ὁσίων τε, ὅσιε,
ἀναπέπαυται τὸ πνεῦμά σου
ἀγαπησάντων τὸν Θεὸν
ἀπὸ ψυχῆς ἐκτενῶς
καὶ βοώντων·
« πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

Ὥσπερ ὁ θεσπέσιος ποτὲ
Ἀντώνιος ἐπὶ γῆς,
πάτερ, ἐβίωσας
καὶ τὸ πολίτευμα ἔσχηκας
ἐν πραότητι βιώσας πολλῇ·
διὸ καὶ νῦν ἐν οὐρανοῖς
ἐσκήνωσας σὺν αὐτῷ
καὶ κραυγάζεις·
« πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

Πάντοτε ἐπόθεις τοῦ θανεῖν,
ἱδρώτων σου τῶν πολλῶν
ἀνάπαυσιν ἐκζητῶν,
ἐλπίσιν, ὅσιε, πόνων σου
ἀγαθῶν ἀεὶ τρεφόμενος·
διὸ καὶ νῦν ἐν οὐρανοῖς
αὐλίζῃ κράζων Θεῷ·
« εὐλογεῖτε
πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

θεοτ. Ὅπλον ἀπροσμάχητον τὴν σὴν
βοήθειαν οἱ πιστοί,
παρθένε, ἔχοντες,
ἀεὶ τὰ σκάνδαλα ἅπαντα
τῶν δαιμόνων ἐκτρεπόμεθα·
διὸ μὴ λίπης, ἀγαθή,

145.154.163 vv. varie intermittunt cdd.   152 αὐτῶν Vb   158 πόνων] πόνωνων Vb   161 κράζων] κραυγάζων Vb   169 λείπης cdd.

141 cfr. II Cor. 7,13

πρεσβεύειν πάντοτε
τῷ υἱῷ σου
f. 336 ὅπως ῥυσθῶμεν παντοί||ων κακώσεων.

ᾠδὴ θ'. *Λίθος ἀχειρότμητος ὄρους*

Νῦν ἐν οὐρανῷ συναυλίζῃ
καὶ μετ' ἀγγέλων συγχορεύεις·
πρέσβευε διό, θεοφόρε,
ὑπὲρ τοῦ κόσμου ὡς συμπαθέστατος,
Βαρθολομαῖε ὅσιε,
πρὸς τὸν δεσπότην καὶ Θεὸν ἡμῶν.

Ἔχων παρρησίαν, παμμάκαρ,
πρὸς τὸν φιλάνθρωπον δεσπότην,
τούτῳ μὴ ἐλλίπῃς πρεσβεύειν
ὑπὲρ τῆς ποίμνης τῆς σῆς τοῦ σώζεσθαι,
Βαρθολομαῖε ὅσιε,
πάσης ἀνάγκης καὶ κακώσεως.

Δέχου τὴν ᾠδὴν τὴν οἰκτράν μου
ὡς συμπαθὴς καὶ μὴ ἐλλίπῃς
δέησιν ἀπαύστως ποιεῖσθαι
πρὸς τὸν δεσπότην, ὅπως κολάσεως
τῆς αἰωνίου ῥύσῃ με,
Βαρθολομαῖε, πάτερ ὅσιε.

θεοτ. Δέχου, θεοτόκε παρθένε,
τὰς τῆς καρδίας μου ἐκ πόθου
νῦν προσφερομένας σοι φωνὰς
καὶ πασῶν ῥῦσαι τῶν μενουσῶν με ἐκεῖ
βασάνων, παναμώμητε,
ὡς μήτηρ οὖσα τοῦ Θεοῦ ἡμῶν.

---

heirm. θ' EE 94, n. 133, Joannis 181.186 ἐλλείπης cdd. 189 ῥύσῃ] ῥύσαι Mf ῥύσαι τὸ Vb 192 τὰς] τὰ Vb

IN SANCTUM SAMUELEM PROPHETAM

Synaxarium, 909-912: Μνήμη τοῦ ἁγίου καὶ ἐνδόξου προφήτου Σαμουήλ. Ὃς ὑπῆρχεν ἐξ Ἀρμαθαὶμ Σιφᾶ ἐξ ὄρους Ἐφραΐμ, ἐκ φυλῆς Λευί, υἱὸς Ἑλκανὰ καὶ Ἄννης. Ὁ δὲ Ἑλκανὰ δύο γυναῖκας ἔσχεν, ὄνομα τῇ μιᾷ Ἄννα καὶ τῇ δευτέρᾳ Φενάννα· καὶ ἦν τῇ μὲν Φενάννῃ παιδίον, τῇ δὲ Ἄννῃ οὐκ ἦν παιδίον. Καὶ ἀνέβη Ἑλκανὰ προσκυνῆσαι τῷ Θεῷ ἐν Σιλὼμ μετὰ Ἄννης, καὶ ἦν ἐκεῖ Ἠλεὶ καὶ οἱ δύο υἱοὶ αὐτοῦ Ὀφνεὶ καὶ Φινεὲς ἱερεῖς τοῦ κυρίου. Ὁ δὲ κύριος ἀπέκλεισε τὴν μήτραν Ἄννης καὶ ἐλύπει αὐτὴν ἡ ἀντίζηλος αὐτῆς. Ἡ δὲ προσηύξατο πρὸς κύριον καὶ ἐμνήσθη αὐτῆς ὁ Θεὸς καὶ ἐγέννησε υἱὸν τὸν Σαμουὴλ καὶ παρέθετο αὐτὸν τῷ Θεῷ. Καὶ αὐξηθεὶς καὶ προκόψας ἐν τῇ ἡλικίᾳ, ἦν λειτουργῶν τῷ Θεῷ καὶ ἐγένετο εἰς προφήτην μέγαν. Ὁ δὲ Ἠλεὶ καὶ οἱ υἱοὶ αὐτοῦ ὀργῇ καὶ θυμῷ κυρίου συντριβέντες ἠφανίσθησαν, διότι παρώργιζον τὸν Θεόν. Καὶ ἐδίκασε Σαμουὴλ πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ καὶ δόματα οὐκ ἔλαβεν, καὶ χρίσας τὸν Σαοὺλ εἰς βασιλέα, εἶτα τὸν Δαβίδ, καὶ εἰς βαθὺ γῆρας ἐλθὼν καὶ πλήρης ὢν ἐτῶν ἐτελεύτησε. Προέλαβε δὲ τὴν σάρκωσιν τοῦ Χριστοῦ ἔτη χίλια τριάκοντα πέντε καὶ προεφήτευσε χρόνους τεσσαράκοντα.

Crypt. Δ.α. XII	= Cp, ff. 105-107ᵛ
Sinait. gr. 632	= Στ, ff. 113-116ᵛ
Bodl. gr. Auct. E. 5. 2	= Oa, ff. 101-101ᵛ
Vindob. Theol. gr. 33	= Wz, ff. 169ᵛ-170

Ὁ κανών· ποίημα Ἰωάννου μοναχοῦ.

Ἦχος β'.

ᾠδὴ α'. *Τῷ τὴν ἄβατον*
κυμαινομένην θάλασσαν

Τῷ τὴν ἄγνωστον
καὶ κεκρυμμένην δέησιν

---

tit. Εἰς τὸν ὄρθρον ... ἕτερος κανὼν τοῦ προφήτου σαμουὴλ ποίημα ἰωάννου μοναχοῦ Cp Ὁ κανὼν ἀνδρέου τοῦ τυφλοῦ Στ tantum Ὁ κανὼν Oa Wz, qui nomen auctoris om.

heirm. α' EE 39, n. 53, Cosmae 2 καὶ om. Στ Oa Wz κεκρυμέμένην Oa

---

1-7 I Regn. 1,9-20

Ἄννης κενὴν καὶ ἄπρακτον
μὴ καταλείψαντι,
ἀλλὰ στάχυν λογικὸν
ταύτῃ, τὸν σοφὸν Σαμουήλ,
δημιουργήσαντι
κυρίῳ ᾄσωμεν·
ἐνδόξως γὰρ δεδόξασται.

Τῷ τὴν ἄκαρπον
καὶ μισουμένην στείρωσιν
Ἄννης οἰκείῳ νεύματι
ἐξαφανίσαντι
καὶ βλαστῆσαι δι' αὐτῆς
τὸν λαωφελῆ Σαμουὴλ
καταξιώσαντι
κυρίῳ ᾄσωμεν·
ἐνδόξως γὰρ δεδόξασται.

Τῷ τὴν ἄμετρον
τῆς εὐσεβοῦς κατήφειαν
Ἄννης χαρὰν εἰς ἄπαυστον
μεταποιήσαντι
καὶ γεννήτριαν αὐτὴν
τοῦ περιφανοῦς Σαμουὴλ
ἀποτελέσαντι
κυρίῳ ᾄσωμεν·
ἐνδόξως γὰρ δεδόξασται.

Τῷ ὀνόματι
τῆς τετοκυίας σώφρονος
Ἄννης τὸν θεῖον Σαμουὴλ

---

3 καινὴν Στ καὶ νῦν Oa κε <...> Wz καὶ ἄπρακτον] ἄπρακτον Oa 6 ταύτης Oa Wz 8 το κυρίω Στ 8-9,17-18,26-27 vv. varie intermittunt Cp Wz v. 9 ὅτι δεδόξασται Oa 12 οἰκείῳ νεύματι] εἰς κύησιν Oa v. 13 μεταποιήσαντι Oa 14 δι'] ἐξ Oa 15 λαοφελῆ Cp Oa λαονφηλῆ Wz v. 18 ὅτι δεδόξασται Oa 21 εἰς ἄπαυστον χαρὰν (εὐχὴν Oa χάριν Wz) Στ Oa Wz 25 ἀπολέσαντι Wz v. 27 ὅτι δεδόξασται Oa 28-36 troparium deest in Στ Oa Wz

---

19-25 I Regn. 1,6-20

προαγορεύσαντι
τὴν τὰ ἔθνη δικαί⟨αν⟩
f. 105v ‖ χάριν διὰ πίστεως
μέλλουσαν ἄφθονον
κυρίῳ ᾄσωμεν·
ἐνδόξως γὰρ δεδόξασται.

θεοτ. * Ἀπειρόγαμε
παρθενομῆτορ ἄχραντε,
ἡ ἐν γαστρὶ χωρήσασα
τὸν βασιλέα Χριστόν,
μὴ παρίδῃς, ἀγαθή,
τὰς τῶν οἰκετῶν σου φωνάς,
ἀλλ' ἀπειλῆς χαλεπῆς
ῥῦσαι πρεσβείαις σου,
Μαρία θεονύμφευτε.

ᾠδὴ γ'. *Στερέωσόν με, κύριε ὁ Θεός μου.*

Ὁ καρπὸν Σαμουὴλ ἀκαρπίας δείξας,
λύσας δὲ καὶ ἔνδειαν
δι' αὐτοῦ προφητείας,
τῆς ψυχῆς μου ἴασαι τὴν στείρωσιν
καὶ τὴν ἀκαρπίαν, κύριε.

Ὁ τῶν ὅλων δεσπότης λαῷ οἰκείῳ
ῥήματος λιμώττοντι,

---

32 tantum δεικαι cd. 37-45 θεοτ. AHG III, 89 diversum θεοτ. Oa refert Στερεώσασα / τὴν κλονουμένην φρένα μου PaR 176 hoc aliud Στ tradit:

Τὸ μυστήριον
τὸ ἀπ' αἰῶνος ἄγνωστον
πᾶσιν ἐν σοί, πανάχραντε,
ἐφανερώθη, Χριστός·
ὡς ἐπ' ὄρους γὰρ τῆς σῆς
στὰς ὁ εἰρηνάρχης γαστρός,
τοῖς πόρρω καὶ τοῖς ἐγγὺς
εἰρήνην ἔδωκε,
σάρκα ἀνταλλαξάμενος.

42 ἱκετῶν Wz 44-45 τὸν κόσμον λύτρωσαι / καὶ σῶσον τὰς ψυχὰς ἡμῶν Wz AHG

heirm. γ' EE 38, n. 52, Joannis; heirm. integrum Cp Στ Oa tradunt 47 δὲ] τὲ Oa 48 δι'] καὶ δι' Wz 50 ἀκαρπίαν] ἀπορίαν Oa 51-55 troparium ut tertium profert Wz 52 λιμόττοντος Oa λιμωττώντο Wz

---

51-54 I Regn. 7,3-6; 12,19-25

Σαμουήλ, σωτηρίου
προφήτην σε ἔδωκεν, ἀοίδιμε·
ὃν ὑπὲρ ἡμῶν ἱκέτευε.

Εἰκὼν τῆς μετὰ στείρωσιν πολυτέκνου
ἐκκλησίας γέγονεν
ἡ θεάρεστος Ἄννα,
τέκνον ἓν προσφέρουσα τῷ κτίσαντι
καὶ ἀντικτωμένη πλείονα.

θεοτ. Δυσώπησον ὃν ἔτεκες, θεοτόκε,
σῶσαι τοὺς ὑμνοῦντάς σε
καὶ σὺν πόθῳ βοῶντας·
« χαῖρε, ἡμῶν καύχημα καὶ στήριγμα
καὶ μετὰ Θεὸν ἀντίληψις ».

Κάθισμα.

Ἦχος α'. *Τὸν τάφον σου, σωτήρ,*

Ὁ λύσας τὰ δεσμὰ
τῆς στειρώσεως Ἄννης,
ἐξ ἧς λαωφελὴς
Σαμουὴλ ἀπετέχθη,
προφήτης ὁ ἔνθεος,
βασιλεῦ τῶν δυνάμεων,
λῦσον, δέομαι,

---

54 δέδωκεν Στ Oa Wz   56-60 troparium ut secundum refert Wz   59 ἓν] ὃν Oa   προσφέρουσα] φέρουσα Cp   προφέρουσα Wz   60 ἀντιτικτωμένη Oa   ἀνακτωμένη Wz   ante θεοτ. hoc troparium Στ Wz servant:

Μετ' ᾠδῆς θεοπνεύστου Θεῷ προσῆγεν
Ἄννα σέ, πανεύφημε,
ἐκφανθεῖσα προφήτης, (I Regn. 2,1-11)
οἷα καθηγούμενον λοχεύσασα (λογχεύσασα Wz)
τοῦ προφητικοῦ συστήματος.

62 ὑμνοῦντας] τιμῶντας Στ Oa Wz   63 σὺ πόθω Στ   συμπόθω Oa Wz   64 στήριγμα καὶ καύχημα Wz

κάθ. deest in Στ Wz; diversum Oa tradit Νόμου κρίμασιν ἐντεθραμμένος, MR VI, 458, quod in Wz post oden ς' invenitur; idem ante canonem (f. 112) Στ profert

heirm. καθ. PeR 59   3 λαοφελὴς cd.

56-60 I Regn. 2,20-21

τῆς ψυχικῆς ἀκαρπίας
τὴν καρδίαν μου
λόγον ζωῆς ἐκβλαστάνειν
εὐχαῖς τοῦ προφήτου σου.

ᾠδὴ δ'. *Εἰσακήκοα, κύριε,*
τὴν ἀκοὴν τῆς σῆς οἰκονομίας

Πρὸ συλλήψεως, ἔνδοξε,
ὑπὸ μητρὸς Θεῷ καθηγνισμένος,
Σαμουήλ, καθήγνισας τὴν κυήσασαν.

Τὸν μητρικῆς σε δείξαντα
τέκνον εὐχῆς δυσώπησον, προφῆτα
Σαμουήλ, Θεὸν ὑπὲρ τῶν ὑμνούντων σε.

f. 106 || Συνανετράφης, ἔνδοξε,
τῷ ἱερῷ ἐνδύματι ἐκ βρέφους,
Σαμουήλ, καὶ ῥύπον οὐκ ἐπεισήγαγες.

Ἐλειτούργησας, ἔνδοξε,
τῷ ποιητῇ ἁγνῶς καὶ τῆς πρὸς τούτου,
Σαμουήλ, ἀπήλαυσας οἰκειώσεως.

---

heirm. δ' MR I, 96; idem in EE deest   66-68 troparium ut secundum profert Wz   68 σαμουὴλ λαμπρύνεις τὴν καθαγνίσασαν Oa Wz   69-71 troparium ut primum refert Wz; idem om. Oa   in loco v. 69 Wz repetit v. 66 Πρὸ συλλήψεως ἔνδοξε   72-74 troparium deest in Wz, qui autem vv. 75-77 in tertia sede tradit   72 Συνανεστράφης πανένδοξε Oa   74 καὶ ῥύπον] παμμάκαρ Oa   75-77 troparium om. Oa; idem ut sextum refert Στ   76 τοῦτον Στ Wz   77 ἀπέλαυσας Στ Wz   ut tertium Oa et ut quartum Στ Wz hoc troparium proferunt:

Γαλουχήσασα μήτηρ σε
ἐν ταῖς αὐλαῖς ἐφύτευσε κυρίου,
Σαμουὴλ παμμάκαρ, δένδρον ὑψίκομον.

ut quintum sequens troparium praebet Στ:

Ὥσπερ ἐλαία ὕδασι (ὕδατι cd.)
πνευματικοῖς ἐδείχθης ἀρδευομένη,
Σαμουὴλ παμμάκαρ, δένδρον ὑψίκομον.

66-68 I Regn. 1,11   69-70 I Regn. 1,11-20   72-74 I Regn. 2,18-19   75-77 I Regn. 2,11.26; 3,1.19; Sir. 46,13

θεοτ. * Δυσωπούμέν σε, ἄχραντε,
τὴν τὸν Θεὸν ἀσπόρως συλλαβοῦσαν
τοῦ ἀεὶ πρεσβεύειν ὑπὲρ τῶν δούλων σου.

ᾠδὴ ε'. *Ὁ τοῦ φωτὸς χορηγὸς*
καὶ τῶν αἰώνων ποιητὴς κύριος

Τῆς νομικῆς κιβωτοῦ
ταῖς προσεδρείαις ἐντρυφῶν, ἔνδοξε,
τῷ νομοδότῃ δὲ προσεγγίζων κυρίῳ, Σαμουήλ,
σκηνὴν τὴν ἁγίαν
ἀξίως ἐδόξασας.

Τὴν καθαρότητά σου
τῆς διανοίας ἐγνωκώς, ἔνδοξε,
ὁ ἐρευνῶν νεφροὺς καὶ καρδίας ἐπώφθη σοι νυκτὶ
δοξάζων ἐν νέᾳ,
σοφέ, ἡλικίᾳ σε.

Ἀπεκαλύφθη Θεὸς
καθ' ἡλικίαν ἀτελῆ ὄντι σοι
πρεσβυτικὴν τὴν παρανομίαν ἐλέγχων διὰ σοῦ,
παρ' οὗ εὐνομίαν,
σοφέ, ἡμῖν αἴτησαι.

Ὡς τὰς τῶν σῶν ἀπαρχὰς
ὀπτασιῶν πρὸς Σαμουὴλ ἔδειξας

78-80 θεοτ. MR III, 15; AHG IX, 211 79 τὴν] ἡ Oa Wz MR AHG συλλαβοῦσα Oa Wz MR AHG
heirm. ε' EE 38, n. 51, Cosmae 82 ἐντρυφᾶν Oa 83 τῷ νομοδότῃ] καὶ καθαρῶς Oa post καθαρῶς et ante προσεγγίζων aliquot litterae evanuisse videntur in Oa 85 ἀξίως om. Wz ἐδόξασας] ἐξέδωκας Oa 86-90 troparium ut tertium Wz et ut quartum Στ servant 86 καθαρότηταν Wz v. 88 σοὶ προσλαλεῖ Θεὸς νηπιάζοντι παρ' οὗ νῦν φωτισμὸν Στ προσομιλῶν ἐνθέως προφῆτα θεὸς διὰ παντὸς Oa ὁ ποιητὴς σοὶ προσομιλήσας προφῆτα σαμουὴλ Wz v. 89 ἡμῖν θεοφόρε Στ παρ' οὗ φωτισμὸν Oa Wz v. 90 πλουσίως ἐξαίτησαι Στ τὰς ψυχὰς ἡμῶν ἴασαι Oa ταῖς ψυχαῖς ἡμῶν αἴτισαι Wz 91-95 troparium, quod ut secundum Στ Wz referunt, om. Oa 92 ἀτελεῖ Cp 93 παρανομίαν πρεσβυτικὴν κατακρίνων διὰ σοῦ Στ Wz 94 παρ'] πρ Στ εὐνομίαν] σαμουὴλ Στ Wz 95 σοφὲ] ἱλασμὸν Στ Wz 96-100 troparium, quod ut tertium profert Στ, deest in Wz 97 πρὸς Σαμουὴλ] τῷ θαυμαστῷ Στ

88 Ps. 7,10; Jer. 17,10 88-90 I Regn. 3,1 ss. 91-93 I Regn. 3,10-18 96-97 cfr. I Regn. 3,19-21

ἀρχιερεῖ καὶ νῦν δι' αὐτοῦ ἡμᾶς οἴκτειρον, Χριστέ,
εἰς σὲ τὴν πρὸς τούτου
πρεσβείαν δεχόμενος.

θεοτ. * Σοὶ τῇ τεκούσῃ Χριστὸν
τὸν τοῦ παντὸς δημιουργὸν κράζομεν·
« χαῖρε, ἁγνή, χαῖρε, ἡ τὸ φῶς ἀνατείλασα ἡμῖν,
χαῖρε, ἡ χωρήσασα
Θεὸν τὸν ἀχώρητον ».

ᾠδὴ ς'. *Ἄβυσσος ἁμαρτημάτων*
ἐκύκλωσέ με ἐσχάτη

Στέρξας σε καθάπερ τέκνον,
καθεύδοντί σοι παρέστη
ὁ παμβασιλεὺς καὶ πατρικῶς
κλήσεσιν, ἔνδοξε, ἐτίμησε,
Σαμουήλ, τρισσωθείσαις.

Ἔτερψας Θεὸν καλοῦντα
νηπιωδῶς ἀγνοήσας
καί, τῇ ἀκακίᾳ σου τερφθείς,
τὸ στόμα σου, ἔνδοξε, ἐσόφισε
κατὰ τῆς πονηρίας.

Ἔβλεψας τοὺς χριστοκτόνους
ἱερεῖς ἐν ἱερεῦσι,
τοὺς ἐν ταῖς θυσίαις ἑαυτοὺς
f. 106v || Θεοῦ προτιμήσαντας, ἐκ θείας σου,
Σαμουήλ, ἐπιπνοίας.

99-100 τὴν τούτου πρὸς σὲ / παρρησίαν πιστούμενος Στ Oa 101-105 θεοτ. MR III, 16; AHG VI, 195; VII, 121; IX, 212 104 χωρέσασα Oa
heirm. ς' EE 44, n. 59, Germani 108 πατρικαῖς Στ Wz 109 ἐτίμησε] ἐδόξασεν Wz 110 τρισσοθείσαις ex τρισσοθείσων in margine emendatum in Cp 111-115 troparium om. Wz 111 Ἔτερψας] Ἔστερξας Oa 113 ἀκακίᾳ] ἀκουκία Cp 114 ἐσόφισε] ἐτίμησε Στ (cfr. v. 109) 116-120 troparium om. Oa; idem ut quartum refert Στ 119 προτιμήσαντας] προτήσαντος Wz σου om. Στ Wz

106-110 I Regn. 3,3-8 111-115 I Regn. 3,1-18 116-119 I Regn. 2,12-17

Ὄλεθρον μαθὼν θεόθεν
ἱερουργῶν ἀνιέρων,
τὴν τῶν ἀνοσίων τοῦ Χριστοῦ
φονέων ἀπώλειαν προφητικῶς,
Σαμουήλ, ἐδιδάχθης.

θεοτ.

Ὄντως σὺ ὤφθης, παρθένε,
τῶν οὐρανῶν πλατυτέρα
καὶ τῶν Χερουβὶμ ὑπερτέρα,
λόγῳ χωρήσασα ἐν μήτρᾳ σου
τὸν ἀχώρητον Λόγον.

Κοντάκιον.

Ἦχος β'.

Τὴν ἐν πρεσβείαις
ἀκοίμητον θεοτόκον
....

⟨Ὁ οἶκος.⟩

Πῶς τοιγαροῦν
ἀνθρώπων ὁ ζήσας
....

121-125 troparium ut secundum Wz, ut tertium Στ servant 121 μαθὼν] μισθὸν Cp παθῶν Oa 126-130 θεοτ. aliud in Oa Βάτος (Βάτον ed.) σε / ἐν τῷ Σιναίῳ ed. in MR III, 17; hoc diversum in Wz legitur Ἄχραντε, ἡ διὰ λόγου / τὸν Λόγον ἀνερμηνεύτως ed. in EV 583 128 ὑπερτέρα] ἁγιωτέρα Στ 130 ἀχώρητον] ἀπόρρητον Στ

κοντάκ. et οἶκ., quae desunt in Στ Oa Wz, reperies in Anth III, ρϞδ'-ρϞι'; κοντακ. tantum tres primos versus praebet ed.

121-122 I Regn. 3,12-14

ᾠδὴ ζ'. *Βάτος ἐν ὄρει πυράφλεκτος*

Ὁ Ἰσραὴλ τῶν προρρήσεων
σοῦ τῇ ἐκβάσει
γνούς, προφήτην, Σαμουήλ,
πιστότατόν σε ἀνηγόρευσεν,
ἀλλὰ πανηγύρεσιν
ὁ ἐξ ἐθνῶν λαὸς
ἐτησίοις τιμᾷ σε
Χριστῷ σὺν σοὶ ἀνακράζων πιστῶς·
« εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

Τὸν Ἰσραὴλ μὲν ἀπήλλαξας
πολυθεΐας,
τοὺς δὲ τούτου δυσμενεῖς
βρονταῖς ἐναερίοις ἔπληξας
ἀφορμὴν λαβούσαις σου
τὴν τῆς εἰλικρινοῦς
ἱκεσίας ἀστραπήν,
προφῆτα, πρὸς κύριον κράζοντος·
« εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

Τὸν ἁμαρτίας ἀμέτοχον
ὑπὲρ τοῦ κόσμου

---

heirm. ζ' EE 39, n. 52, Joannis; heirm. integer in Cp heirm. 1 πυρίφλεκτος EE 134 post πιστότατόν σε add. ἔκβασιν Wz 135 πανηγύρευσιν Wz 137 ἐτησίοι Wz σε τιμᾷ Στ Oa 138 χριστῷ δὲ σὺν σοὶ βοῶν ἀγάλλεται Στ Oa Wz 139-140, 149-150 vv. detruncant Στ Wz 141-150 troparium om. Oa 145 λαβοῦσαι Wz 146 τὴν τῆς om. Cp 147 ἱκεσίας] ἐκκλησίας Στ post ἀστραπὴν add. ἱκεσίας Στ 148 προφήτην Wz κραυγάζοντι Wz 151 ἁμαρτίαις Oa pro vv. 151-160 hoc troparium Wz praebet, quod Στ ut sextum tradit:

Δικαιοσύνῃ κοσμούμενος
ἀνεπιλήπτῳ (ἀνεπίληπτων Wz)
θρόνον τὸν μωσαϊκόν,

131-134 I Regn. 3,19-21; Sir. 46,13.15 141-142 I Regn. 7,3-6
143-148 I Regn. 7,9-10; Sir. 46,16-18

μέλλοντα θεῖον ἀμνὸν
τυθῆναι προτυπῶν, πανεύφημε,
ὑπὲρ ὁμηγύρεως
ἰσραηλιτικῆς
ὑπομάζιον ἄρνα
τῷ κτίστῃ κραυγάζων ὠλοκαύτωσας·
« εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

f. 107 ‖ Τὴν ἐκτελεῖσθαι ἀναίμακτον
ἱερουργίαν
παντὶ μέλλουσαν δηλῶν,
σκηνῆς ἐκτὸς θυσιαστήριον
τῆς ἱερᾶς ἔπηξας
καὶ ἡγιασμένης
προαναδείξας κύκλῳ,
Σαμουήλ, κραυγάζων ἄπαυστα·
« εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

προφῆτα Σαμουήλ, ἐκόσμησας,
ὡς ἀδωροδόκητος
τοῦ Ἰσραὴλ κριτὴς
καὶ τῆς παμβασιλίδος
τριάδος ὑπήκοος, βοῶν αὐτῇ· (ἄστη Wz)
« εὐλογητὸς <εἶ, ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν »>.

158 ὁλοκαύτωσας Cp Oa 161-170 troparium om. Wz; hoc aliud Oa tradit, quod post v. 170 refert Στ:

Κεκορεσμένους (Κεκορεσμένος Oa) τοῦ ἄρχεσθαι (εὔχεσθαι Oa)
Ἰσραηλίτας
ἤλγησας, ὑπὸ Θεοῦ
καὶ ὑπ' ἀνθρώπου βασιλεύεσθαι
θέλοντας θεώμενος
καὶ προορῶν Χριστοῦ
ἀρνουμένους τὸ κράτος,
προφῆτα, καὶ τούτῳ κράζειν φεύγοντας·
« εὐλογητὸς εἶ, ὁ Θεός,
<ὁ τῶν πατέρων ἡμῶν ».>

164 σκηνὴν Στ 165 ἔπηξας] προσέπηξας Στ 166-167 ἡγιασμένους τε / ἐπανέδειξας τόπους κυκλῶν Στ 168 κραυγάζων] καὶ κράζων Στ 169 εἶ om. Στ 170 v. intermittit Cp

---

155-157 I Regn. 7,9 161-165 I Regn. 7,17

θεοτ. * Τίκτεις ἀσπόρως τὸν ἄναρχον
καὶ πρὸ αἰώνων
κύριον, τὸν τοῦ πατρὸς
υἱὸν σοφίαν τε καὶ δύναμιν
ἐπ' ἐσχάτων, πάναγνε,
ὑπερφυῶς σαρκὶ
εἰς ἀνάπλασιν βροτῶν·
διὸ εὐσεβῶς, παρθένε ἄχραντε,
« εὐλογητὸς εἶ » τῷ ἐκ σοῦ
τεχθέντι κράζομεν.

ᾠδὴ η'. *Τῷ δόγματι τῷ τυραννικῷ*

Ἱερεῖς μὲν ἔχρισε Μωσῆς
καὶ σὺ δέ, Σαμουήλ, βασιλεῖς χρίσας
ἀφωμοιώθης πρὸς τοῦτον,
μεθ' οὗ βοᾷς ἀγαλλόμενος·
« εὐλογεῖτε τὰ ἔργα
κυρίου τὸν κύριον ».

Κινήσαντι θείαν τῷ Σαοὺλ
ὀργὴν καθ' ἑαυτοῦ σβέσαι, προφῆτα,
σπεύδων, κατέσφαξας ἄνδρα
λαοῦ μὴ κράζοντος ἄρξαντα·
« εὐλογεῖτε τὰ ἔργα
κυρίου τὸν κύριον ».

171-180 θεοτ. MR I, 100 174 τε om. MR v. 178 διὸ τῷ ἐκ σοῦ τεχθέντι κράζομεν Στ Wz, et cetera abrumpit Wz 179 εὐλογητὸς ὁ θεὸς Στ, qui cetera excidit

heirm. η' EE 39, n. 53, Cosmae 184 μεθ' οὗ] γὰρ μεθῶν Oa 185-186 vv. varie intermittunt Cp Oa Wz 187-192 troparium om. Wz 188 σβέσον Oa 191-192 vv. varie detruncant Στ Oa

---

181 Ex. 28,41; 29,1 ss.; 30,30; Lev. 8,1 ss. 182 I Regn. 10,1.24; 11,15; 16,12-13 187-190 I Regn. 15,10-33

Κοσμόλεθρον τὸν ὑπὸ Χριστοῦ,
προφῆτα, σφαγησόμενον δυνάστην
τῇ ἀναιρέσει τυράννου
προέγραψας μὴ κράζοντος·
« εὐλογεῖτε τὰ ἔργα
κυρίου τὸν κύριον ».

Μιμήσεως τῆς πρὸς τὸν Σαοὺλ
ταῖς σαῖς ῥῦσαι πρὸς Θεὸν ἱκεσίαις
τὸν εὐσεβῆ βασιλέα
ἡμῶν, προφῆτα, κραυγάζοντα·
« εὐλογεῖτε τὰ ἔργα
κυρίου τὸν κύριον ».

Ἐπλούτησας γνῶσιν, Σαμουήλ,
τῶν τόπῳ ἀφεστηκότων καὶ χρόνῳ·
φῶς γὰρ ἐν σοὶ παντεφόρου
τριάδος ᾤκησε
« εὐλογεῖτε » κραυγάζον
« τὰ ἔργα τὸν κύριον ».

θεοτ. Εἰκόνα σε ζῶσαν τοῦ πατρὸς
γινώσκομεν ἐν πνεύματι ἁγίῳ

193-198 troparium deest in Στ Oa Wz   197-198 vv. abrumpit Cp   199 τῆς] τὴν Oa   τὸν] τὸ Wz   200 ἱκεσίαις] παρρησίαις Wz   202 κραυγάζοντι Wz   203-204 vv. varie detruncant cdd.   205-210 troparium om. Oa   208 post ᾤκησε add. χρόνων Wz   209-210 vv. abrumpit Wz v. 209 κράζοντι εὐλογεῖτε Στ, qui cetera abrumpit   κραυγάζων Cp   post v. 210 hoc troparium refert Στ, quod θεοτ. videtur:

Ἡ γύμνωσις ἡ προγονικὴ
ἠμφίεσται τῷ τόκῳ σου, παρθένε·
τῷ πνεύματι γὰρ ἱστῶνα
ἐν σοὶ ὁ πατὴρ δειμάμενος,
τοῦ υἱοῦ τὴν βασίλειον
χλαῖναν ἐξύφανεν.

211-216 hoc aliud θεοτ. Στ Oa tradunt:

Τὴν ἄφθορον ἐκ δαβιτικῶν
ἐν ᾄσμασι μελισμάτων ἀφράστως (συμφώνως Oa)
Χριστὸν τεκοῦσαν Μαρίαν σεμνὴν (θεοῦ ἀφράστως μητέρα πιστοὶ Wz)
ὑμνήσωμεν ἅπαντες,
εὐλογοῦντες μητέρα (μαρίαν Oa)
παρθένον τὴν ἄχραντον.

hoc aliud legimus in Wz:

195-196 I Regn. 15, 32-33   199-201 I Regn. 15,10 ss.

τὸν ἐκ παρθένου τεχθέντα,
Χριστέ, ἁγνῆς θεομήτορος,
« εὐλογεῖτε » βοῶντες
« τὰ ἔργα τὸν κύριον ».

ᾠδὴ θ'. *Ἡ τὸν ἀχώρητον Θεὸν ἐν γαστρὶ χωρήσασα*

Ἐκ Βηθλεὲμ ὁ προελθεῖν
Χριστὸς προσδοκώμενος
τὸν Δαβὶδ αὐτόθι σοι χρίοντι
ἐγνωρίσθη,
Σαμουὴλ θεοφόρε.

Τὸν κατὰ σάρκα ἐκ Δαβὶδ
Χριστὸν καταγόμενον
τὸν ἐκείνου χρίων προπάτορα
ἐδιδάχθης
μυστικῶς, θεοφόρε.

Τὰ δαβιτικὰ κατ' ἐχθρῶν
τῷ πιστῷ προξένησον

Λαμπάδα σε ὄντως φαεινὴν
καὶ βάτον ἄφλεκτον κατανοοῦμεν (Ex. 3,2)
οἱ διὰ σοῦ σεσωσμένοι
βροτοί, παρθένε πανάμωμε·
διὰ τοῦτό σε πάντες
συμφώνως δοξάζομεν.

216 v. detruncat Cp

heirm. θ' EE 40, n. 53, Cosmae   217 Ὁ ἐκ βηθλεὲμ ἐλθεῖν Cp Ὁ προελθεῖν ἐκ βηθλεὲμ Στ   219 τὸν] τῷ Wz   αὐτόθι σοι] αὐτόθησον Wz   220 ἐγνωρίσθης Wz   224 τὸν αὐτοῦ τοῦ χρίσαι προπάτωρα Oa   227-231 troparium Wz om., sed ut tertium sequens troparium servant Στ Wz:

Τὴν Ἀρμαθαὶμ (ἀρμαθὲμ cdd.) μέν, Σαμουήλ,
τῇ ταφῇ ἐκόσμησας
καταστέψας (καταστρέψας Wz) πρώην τῷ τόκῳ σου,
τοὺς πιστοὺς δὲ
τοῖς ἐπαίνοις σου τέρπεις.

227-231 troparium ut quartum refert Στ   227 Τὰ δαβιτικὰ] Δαυιτικὰ Στ Δαυϊτικὰ μὲν Oa   κατὰ Στ   228 προξένισεν Στ

219-220 I Regn. 16,10-13   222-225 I Regn. 16,10-13   227-229 I Regn. 17,48-51

βασιλεῖ ἡμῶν νικητήρια,
ἔχων, μάκαρ,
πρὸς Θεὸν παρρησίαν.

f. 107v || Ὑπὲρ λαοῦ σου τοῦ πιστοῦ
ἐκτενῶς δυσώπησον
τὴν σεπτὴν τριάδα, πανεύφημε,
ἥνπερ πάλαι
Ἰουδαίοις ὑπέσχου.

θεοτ. Τὸν πρὸ αἰώνων ἐκ πατρὸς
γεννηθέντα κύριον
ἐπ' ἐσχάτων, μῆτερ, ἐγέννησας,
θεοτόκε,
εἰς ἡμῶν σωτηρίαν.

232-236 troparium deest in Oa Wz 232 σου τοῦ] τοῦ τῶν Στ
237-241 hoc diversum θεοτ. in Oa legitur:
Τὴν τὸν ἀχώρητον Θεὸν
ἐν γαστρὶ χωρήσασαν
καὶ χαρὰν τῷ κόσμῳ (κόσκω cd.) κυήσασαν
σὲ ὑμνοῦμεν,
τὴν πάντων ἐλπίδα.
aliud Στ Wz exhibent:
Τῇ εὐδοκίᾳ τοῦ πατρὸς
τὸν υἱὸν χωρήσασα,
τοὺς βροτοὺς τοῦ πνεύματος ἔπλησας,
θεοτόκε,
τοῦ ἐν σοὶ ἐπελθόντος.

21 AUG. *CANON* XXIV

IN SANCTUM ALEXANDRUM MARTYREM ICONII

Matrit. gr. 4694 = Α, ff. 205-207v
Paris. Coislin. gr. 218 = Ha, ff. 132v-134v
Sinait. gr. 631 = Σρ, ff. 87v-89v
Vat. gr. 787 = Vw, ff. 209-210v

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Τὴν σὴν γεραίρω, μάρτυς, ἔνθεον χάριν· Ἰωσήφ.

Ἦχος δ'.

ᾠδὴ α'. *Ἀνοίξω τὸ στόμα μου*

Ταῖς θείαις λαμπόμενος
φωτοχυσίαις τοῦ πνεύματος,
τὸν νοῦν μου καταύγασον,
ὅπως ὑμνήσω σου
τὰ παλαίσματα,
τοὺς πόνους, τὴν ἀνδρείαν
καὶ τὰ κατορθώματα,
μάρτυς Ἀλέξανδρε.

Ἡλίου φαιδρότερον
ἐξανατείλασα σήμερον
ἡ ἔνδοξος μνήμη σου,
μάρτυς Ἀλέξανδρε,

---

tit. Ἕτερος κανὼν εἰς τὸν ἅγιον ἀλέξανδρον τοῦ (sic) ἐν τῷ ἰκονίω μαρτυρήσαντα φέρων . . . et in margine sigla Ἰωσὴφ Ha Κανὼν τοῦ ἁγίου μάρτυρος ἀλεξάνδρου Σρ, qui acrostichidem et nomen auctoris om. tantum Ὁ κανὼν Vw in rubrica

heirm. α' EE 99, n. 141, Joannis 10 ἐξανέτειλας Σρ

τοὺς τιμῶντάς σε
ἐν ταύτῃ καταυγάζει,
τὰ νέφη σκεδάζουσα
τῶν καρδιῶν ἡμῶν.

Νοὸς γενναιότητι
ἀνδρειοφρόνως ἐχώρησας
πρὸς πᾶσαν παράταξιν
τοῦ πολεμήτορος
καὶ τρεψάμενος
αὐτοῦ τὰς μυριάδας,
νίκης διαδήμασι,
μάρτυς, κατέστεψαι.

θεοτ. Σαρκὸς ὁμοιώματι
ἐμφανισθῆναι θελήσαντα
ἀνθρώποις τὸν κύριον
ἐκυοφόρησας,
ὃν ἱκέτευε,
παρθένε θεοτόκε,
σῶσαι τὰς ψυχὰς ἡμῶν
τῶν ἀνυμνούντων σε.

ᾠδὴ γ'. *Ὅτι στεῖρα ἔτεκεν*
ἡ ἐξ ἐθνῶν ἐκκλησία

Ἠκολούθεις, ἔνδοξε,
ἀνεπιστρόφῳ καρδίᾳ
f. 205v τῷ σταυρωθέντι ‖ Λόγῳ,
τούτου μιμούμενος σαφῶς
τὰ ἱερὰ παθήματα
διαπύρῳ
πόθῳ, παμμακάριστε.

Νευρωθεὶς τῷ πνεύματι
τῷ παναγίῳ, παμμάκαρ,

13 σε] σου A 26 θελήσαντος Ha
heirm. γ' EE 97, n. 138, Joannis 35 τῷ iteratum delevit Σρ

25-27 cfr. Rom. 8,3

τοὺς ἐκ μαστίγων πόνους
καὶ τῆς σαρκὸς τοὺς σπαραγμοὺς
ἀνδρειοφρόνως ἤνεγκας,
Ἀλέξανδρε,
μάρτυς ἀξιάγαστε.

Γηπονήσας ἄριστα
θεογνωσίας ἀρότρῳ
τὴν γῆν τῆς σῆς καρδίας,
ἑκατοστεύοντα Θεῷ
τοῦ μαρτυρίου ἄσταχυν
προσήνεγκας,
μέγιστε Ἀλέξανδρε.

θεοτ. Ἐκ σοῦ ἀνατέταλκε
δικαιοσύνης ὁ ἥλιος,
παρθένε, πᾶσαν κτίσιν
θεογνωσίας ἀστραπαῖς
φωταγωγῶν ἐν χάριτι·
διὰ τοῦτο
πόθῳ σε δοξάζομεν.

Κάθισμα.

Ἦχος δ'. *Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ*

Ἀνενδοιάστῳ λογισμῷ
πρὸς τοὺς ἀγῶνας
καὶ τὰ παλαίσματα ἐχθροῦ
τοῦ ἀοράτου
σὺ προσχωρήσας, ἔνδοξε Ἀλέξανδρε,
νίκης θεῖον στέφανον

47 ἄριστε Vw 50 θεὸν Vw 51 ἄσταχυν] στάχυας A 55 ὁ ἥλιος] παρθένε Ha Σρ Vw 56 παρθένε] ἥλιος Ha Σρ Vw 60 δοξάζωμεν A
καθ. ante canonem Ha (f. 129) et Σρ (f. 82v) tradunt
heirm. καθ. HR 29

50-52 cfr. Luc. 8,8 καθ. 1-7 cfr. II Tim. 4,7-8

οὐρανόθεν ἐδέξω·
ὅθεν συνελθόντες σε
εὐσεβῶς εὐφημοῦμεν
καὶ ἐκβοῶμεν· « αἴτησαι ἡμῖν
λύσιν πταισμάτων,
παμμάκαρ, καὶ ἔλεος ».

ᾠδὴ δ'. *Ὁ καθήμενος ἐν δόξῃ*
ἐπὶ θρόνου θεότητος

Ῥαντισμῷ τῶν σῶν αἱμάτων
πῦρ ἐσβέσθη ἀλλότριον
καὶ καθηγιάσθη
ἅπασα ἡ γῆ εὐφημοῦσά σου
τοὺς ὑπὲρ ἔννοιαν πόνους
καὶ τὰ στίγματα
καὶ τὴν μνήμην τὴν πανευκλεῆ
καὶ σωτήριον.

Ἀνηρτήθης ἐπὶ ξύλου
τὰς πλευρὰς ὀρυττόμενος
καὶ ἐξεικονίζων
πάθος τοῦ δεσπότου τὸ ἄχραντον,
δι' οὗ παθῶν ἀτιμίας
ἐλυτρώθημεν,
ἀθλοφόρε θεόφρον Χριστοῦ,
ἀξιάγαστε.

Ἰσχυρῶς κατὰ τῆς πλάνης
ἀνδρισάμενος, τρόπαιον
ἀνεστήσω, μάρτυς,
καὶ πρὸς οὐρανοὺς ἀνελήλυθας
καὶ τοῖς ἁγίοις ἀγγέλοις
συνηρίθμησαι,
ὑπὲρ πάντων ἡμῶν δυσωπῶν
τὸν φιλάνθρωπον.

---

8 σε om. A
heirm. δ' ΕΕ 95, n. 135, Joannis   77 Ἰσχυρὸς A

Ῥεῖθρον ζῶν ἐν τῇ καρδίᾳ
τὸν Θεοῦ πόθον ἔσχηκας
f. 206 ‖ καὶ τὰς ἀναβλύσεις
πάσας τῆς κακίας ἐξήρανας
καὶ τῆς τρυφῆς τὸν χειμάρρουν
νῦν ἀπείληφας·
διὰ τοῦτό σε πάντες, σοφέ,
μακαρίζομεν.

θεοτ. Ὤφθης μόνη πλατυτέρα
οὐρανῶν, ὡς χωρήσασα
ἀστενοχωρήτως
Λόγον τὸν ἐν πᾶσιν ἀχώρητον,
ὃν ἐκδυσώπει, παρθένε,
πάσης θλίψεως
καὶ στενώσεως τὸν σὸν λαὸν
διασώζεσθαι.

ᾠδὴ ε'. *Ἐξέστη τὰ σύμπαντα*
ἐπὶ τῇ θείᾳ μνήμῃ σου

Μαρτύρων ἀγλάισμα
καὶ θεῖον ἀκροθίνιον,
στῦλος ἀπερίτρεπτος ὤφθης
τῆς ἐκκλησίας
καὶ περιτείχισμα
πάντων τε διάσωσμα πιστῶν
τῶν ἀνευφημούντων σου
τὰ σεπτὰ προτερήματα.

Ἁγίως τὸν βίον σου
ἀνύσας, κατεσκήνωσας

85-92 troparium om. Σρ Vw   86 θεὸν A   92 μακαρίζωμεν A
heirm. ε' ΕΕ 100, n. 141, Joannis   102 καὶ θεῖον] μαρτύρων Ha Σρ Vw

---

89 Ps. 35,9   103-104 cfr. I Tim. 3,15; Apoc. 3,12

μετὰ τῶν ἁγίων εἰς αἰῶνας,
στέφει μαρτύρων
ἀγλαϊζόμενος
καὶ περιπολῶν τοὺς οὐρανούς·
ὅθεν σε γεραίρομεν,
ἀθλοφόρε Ἀλέξανδρε.

Ῥωννύμενος χάριτι
τοῦ παναγίου πνεύματος,
πόλεως εἰς πόλιν μεταβαίνεις
ἀνακηρύττων
Θεοῦ τὸ ὄνομα,
τρέπων τὸν πολέμιον ἐχθρόν,
βάσανα πολύπλοκα
ὑπομένων, Ἀλέξανδρε.

θεοτ. Τὰ πάθη θεράπευσον
τῆς ἀσθενοῦς καρδίας μου,
ἴασαι τοῦ σώματος τὰς νόσους,
σῶσόν με πάσαις
κλυδωνιζόμενον,
κόρη, τῶν δαιμόνων προσβολαῖς,
ὅπως μακαρίζω σε
καθ' ἑκάστην, σωζόμενος.

ᾠδὴ ς'. *Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης*

Ὕψιστον Θεὸν ἀνακηρύττων
ὑψηλοτάτῃ γνώμῃ,
πανοαοίδιμε μάρτυς, ἐν ξύλῳ
ἀνυψωθείς,
τοὺς ξεσμοὺς τοῦ σώματος
ὥσπερ ἄσαρκος ὑπήνεγκας.

---

115 γεραίρωμεν Α Σρ 122 τρέπον Σρ 124 ὑπομείνας Α ὑπομένεις Vw
heirm. ς' EE 96, n. 135, Joannis

Στάντα πρὸ βημάτων σε ἀδίκων
καὶ τὸν Θεὸν τῶν ὅλων
ἐλευθέρᾳ κηρύττοντα γνώμῃ,
ἀνηλεῶς
ταῖς πληγαῖς ὁ τύραννος
καθυπέβαλεν, Ἀλέξανδρε.

f. 206v ‖ Ἔφερες τυπτόμενος, παμμάκαρ,
τὸν ἱερὸν αὐχένα
καὶ ὑπέταξας ποσί σου θείοις
κατὰ Χριστοῦ
τὸν τραχηλιάσαντα
δυσμενέστατον, Ἀλέξανδρε.

θεοτ. Νοσοῦσαν ἐχθροῦ ταῖς μεθοδείαις
τὴν ταπεινὴν ψυχήν μου,
θεονύμφευτε εὐλογημένη,
ἐπισκοπῆς
τῆς ἐν σοὶ ἀξίωσον,
ὅπως πίστει μακαρίζω σε.

ᾠδὴ ζ'. *Οὐκ ἐλάτρευσαν τῇ κτίσει οἱ θεόφρονες*

Θείῳ πνεύματι πυρούμενος ἐνέπρησας
τοὺς τῶν εἰδώλων ναοὺς
καὶ ἐμβληθεὶς εἰς πυρὰν
δεκτὸν ὁλοκαύτωμα
Θεῷ προσήνεξαι
μέλπων, ἔνδοξε·
« ὁ τῶν πατέρων κύριος
καὶ Θεός, εὐλογητὸς εἶ ».

Ἐμαστίχθης τὸ μακάριον, Ἀλέξανδρε,
εὐτόνως σῶμά σου,
ῥαίνων τοῖς αἵμασι

---

heirm. ζ' EE 100, n. 141, Joannis 158 ναοὺς] βωμοὺς Σρ 164 v. varie detruncatur in A Ha Vw 167 ῥαίνον Σρ

τὴν γῆν καὶ τοὺς ἄνθρακας
τῆς ματαιότητος,
ἀξιάγαστε,
κατασβεννύων χάριτι
τοῦ δεσπότου τῶν ἁπάντων.

Οὐρανόθεν δυναμούσης σε, Ἀλέξανδρε,
φωνῆς ἀκήκοας
μέσον ἑστὼς τῶν δεινῶν
καὶ χαίρων διήνυσας
τὸν δρόμον, ἔνδοξε,
τῆς ἀθλήσεως
καὶ πρὸς τὰς ἄνω ἔφθασας
ἀειζώους κατοικίας.

θεοτ. Νόμου θείου ἀπεκύησας τὸν πάροχον
νομίμων δίχα σαρκός,
νομοθετοῦντα ἡμῖν
θείαν ἀπολύτρωσιν,
θεογεννῆτορ ἁγνή,
τοῖς κραυγάζουσιν·
« ὁ τῶν πατέρων κύριος
καὶ Θεός, εὐλογητὸς εἶ ».

ᾠδὴ η΄. *Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ*
ὁ τόκος τῆς θεοτόκου διεσώσατο

Χαίρων τῇ πυρᾷ ἐπέβης, μάρτυς,
ἐνθέοις ἐλπίσι δροσιζόμενος
καὶ ὥσπερ ὀχήματι
ταύτῃ ἐποχούμενος
πρὸς οὐρανοὺς ἀνέδραμες
βοῶν, Ἀλέξανδρε·
« τὸν κύριον ὑμνεῖτε τὰ ἔργα

171 κατασβεννύεις Vw 175 ἑστὼ Vw 180 κατοικίας] καταπαύσεις Vw 186 post κραυγάζουσιν tantum εὐλογητὸς legitur in A 188 v. abrumpit Vw heirm. η΄ EE 100, n. 141, Joannis 189 μάρτυς] μάκαρ Vw 195-197 vv. varie intermittunt cdd.

καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Ἀγάλλεται πᾶσα ἐκκλησία
τῇ μνήμῃ σου σήμερον, Ἀλέξανδρε,
ἄγγελοι χορεύουσιν,
ἄνθρωποι δοξάζουσι
τοὺς ὑπὲρ νοῦν ἀγῶνάς σου
καὶ τὰ παλαίσματα,
τὸν ζῆλον, τὴν πολλὴν καρτερίαν,
δι᾽ ἧς ἐδοξάσθης
εἰς πάντας τοὺς αἰῶνας.

f. 207 ‖ Ῥομφαίαν διῆλθες ἀκωλύτως
φλογίνην φλογὶ ὁλοκαυτούμενος,
ξύλῳ δὲ προσήγγισας
νίκαις κλεϊζόμενος
τῷ τῆς ζωῆς, Ἀλέξανδρε,
χοροβατῶν ἐν χαρᾷ
τὸ πλάτος παραδείσου, παμμάκαρ·
ὅθεν σε ὑμνοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

τριαδ. Ἱερολογοῦντες ἀνυμνοῦμεν
πατέρα, υἱὸν καὶ πνεῦμα ἅγιον,
ἄτμητον θεότητα,
φύσιν τρισυπόστατον,
δημιουργὸν καὶ κύριον,
καὶ ἀνακράζομεν·
« τὸν κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

206 v. detruncat A 207-215 troparium desideratur in Σρ 207 διῆλθεν A 208 φλογίνην] φλογὶ ἣν A 213-214 διό σε ἀνυμνοῦμεν παμμάκαρ / καὶ ὑπερυψοῦμεν Vw, qui cetera om. 214 ὑμνοῦμεν] τιμῶμεν Ha 215 v. abrumpitur in A Ha 216-224 τριαδ. om. Vw 221 ἀνακράζωμεν A Σρ 222-224 vv. recidunt cdd.

207-211 cfr. Gen. 3,24

θεοτ. Νοός μου τὸ σκότος, θεοτόκε,
φωτὶ τῷ ἐν σοὶ ὅλον ἀπέλασον,
λάμψον μετανοίας μοι
αἴγλην, ἀειπάρθενε,
καὶ τὴν ὁδὸν ὑπόδειξον
τὴν ἀποφέρουσαν
πρὸς θείας καταπαύσεις, βοῶ σοι,
ἵνα σε δοξάζω
εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ'. *Ἅπας γηγενὴς*

Ἴχνεσι Χριστοῦ
παθῶν ἠκολούθησας
ἀπαρνησάμενος
κόσμον, ἀξιάγαστε,
καὶ ταῖς βασάνοις
σῶμα φθειρόμενον
ἐκδεδωκώς, Ἀλέξανδρε
μακαριώτατε·
διὰ τοῦτο
χαίρων νῦν τὴν ἄφθαρτον
τοῦ Θεοῦ βασιλείαν ἀπείληφας.

Ὤφθης τῆς πυρᾶς
ἐν μέσῳ ὀπτώμενος
ὡς ἄρτος ἥδιστος·
ὅθεν προσενήνεξαι
τῇ οὐρανίῳ
τραπέζῃ, ἔνδοξε,
ὑπὲρ ἡμῶν δεόμενος
τῶν εὐφημούντων σου
ἀδιστάκτῳ

---

230 ἐπιφέρουσαν Vw 232 ἵνα] ὅπως Ha Σρ Vw 233 v. varie intermittunt A Ha Vw
heirm. θ' EE 100, n. 141, Joannis 234-244 tropario caret Vw 235 παθῶν] ποθῶν Ha Σρ 246 ἐμμέσῳ A 247 ἄρτος ὡς ἥδιστος Ha 249 οὐρανίου A

234-235 cfr. I Petr. ep. 2,21

πίστει τὰ παλαίσματα
καὶ τελούντων τὴν μνήμην, Ἀλέξανδρε.

Στόματι λαμπρῷ
Θεὸν ὡμολόγησας
σάρκα πτωχεύσαντα
ἔναντι, Ἀλέξανδρε,
τῶν παρανόμων
καὶ πᾶσαν ἤνεγκας
ἐπενεχθεῖσαν βάσανον
νοὸς στερρότητι
καὶ πλατύνεις
πάντων ἡμῶν στόματα
ἀνυμνεῖν σου, παμμάκαρ, τὰ θαύματα.

Ἡ περιφανὴς
καὶ εὔσημος μνήμη σου
ἐξανατείλασα,
μέγιστε Ἀλέξανδρε,
καταφωτίζει
τὴν ἐκκλησίαν Χριστοῦ,
ἣν ἐκτελοῦντας λύτρωσαι
παντὸς κινδύνου ἡμᾶς,
ἱκετεύων,
μάρτυς, τὸν φιλάνθρωπον
τὸν ἀγγέλων χοροῖς σε συνάψαντα.

θεοτ. Φῶς τὸ ἐκ φωτὸς
f. 207v ἐκλάμψαν, || θεόνυμφε,
ἀρρήτως τέτοκας·
ὅθεν ἱκετεύω σε,
τὸ σκότος λῦσον
τῆς ἀγνωσίας μου
καὶ τοῦ πυρός με λύτρωσαι
τοῦ αἰωνίζοντος,
παναγία,
ὅπως μακαρίζω σε
τὴν θερμὴν τῶν ἀνθρώπων ἀντίληψιν.

---

257 ὁμολόγησας A Σρ: cfr. Mitsakis, 53-54 264 πλατύνειν A
277 τὸν] τῶν Ha Σρ Vw σε om. Vw 284 καὶ iteratum in Σρ

IN SANCTUM AGATHONICUM ET SOCIOS MARTYRES

Synaxarium, 913-915: Ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀ γ α θ ο ν ί κ ο υ καὶ τῆς συνοδίας αὐτοῦ Ζ ω τ ι κ ο ῦ, Ζ ή ν ω ν ο ς, Θ ε ο π ρ ε π ο ῦ ς, Ἀ κ ι ν δ ύ ν ο υ καὶ Σ ε υ η ρ ι α ν ο ῦ. Ὁ μάρτυς τοῦ Χριστοῦ Ἀγαθόνικος ἦν κατὰ τοὺς χρόνους Μαξιμιανοῦ. Συνελήφθη δὲ ὑπὸ κόμητός τινος ὀνόματι Εὐτολμίου, ὃς ἐκ Νικομηδείας ἐπὶ τὴν ποντικὴν χώραν παρὰ τοῦ βασιλέως ἐπὶ ἀναιρέσει ἀποσταλεὶς τῶν χριστιανῶν, ἐν τῷ διαβαίνειν ἐν πλοίῳ κατέλαβε τὸ ἐμπόριον τὸ λεγόμενον Κάρπιν, κἀκεῖ τὸν ἅγιον Ζωτικὸν σὺν τοῖς μαθηταῖς αὐτοῦ εὑρὼν τὸν Χριστὸν ὁμολογοῦντας, ἀπέκτεινεν. Εἶτα ὑποστρέψας εἰς Νικομήδειαν καὶ μαθὼν ὅτι ὁ πρῖγκιψ διά τινος Ἀγαθονίκου ἀφιστῶντος τοὺς ἕλληνας τῶν εἰδώλων καὶ προσάγοντος τῷ Χριστῷ ἐπίστευσεν, ἀποστείλας ἀμφοτέρους συνέλαβε καὶ τὸν μὲν ἅγιον Ἀγαθόνικον τύπτει σφοδρῶς, τὸν δὲ πρίγκιπα μετὰ ἑτέρων δεσμίων χριστιανῶν ἅμα δὲ καὶ τῷ ἁγίῳ Ἀγαθονίκῳ ἐπὶ τὴν Θρᾴκην ἄγει, ἔνθα διῆγεν ὁ βασιλεύς, τοῦ παρ' αὐτοῦ γενέσθαι τὴν τούτων ἐξέτασιν. ... ἐν δὲ τῷ Βυζαντίῳ παρίσταται αὖθις αὐτῷ ὁ ἅγιος Ἀγαθόνικος μετὰ τῶν ... συνδεσμίων καὶ τοῦ πρίγκιπος. Καὶ ἐξαχθεὶς ἔξω τῆς πόλεως, τύπτεται σφοδρῶς καὶ φθάσας τὴν Σηλυβρίαν, εἰς τόπον λεγόμενον Ἄμμους, ἔνθα ὁ Μαξιμιανὸς διῆγεν, ἐτμήθη τὴν κεφαλὴν μετὰ τοῦ πρίγκιπος καὶ τῶν ἄλλων χριστιανῶν, ὅσους ὁ κόμης ἐκ Νικομηδείας ἤγαγε, καὶ σὺν αὐτοῖς τῷ τῆς μαρτυρίας στεφάνῳ κατεκοσμήθη...

Sinait. gr. 632	= Στ,	ff. 123-126
Crypt. Δ.α. XII	= Cp,	ff. 110ᵛ-113ᵛ
Mess. gr. 140	= O,	ff. 145-146ᵛ
Hierosol. Sabait. gr. 71	= Ja,	ff. 158-160
Paris. gr. 1575	= Pv,	ff. 211-211ᵛ

Ὁ κανών.

Ἦχος δ'.

ᾠδὴ α'. *Τῷ ὁδηγήσαντι πάλαι*

Ἐν τῇ λαμπρότητι, μάρτυς,
ὡς ἀληθῶς ἔδραμες

tit. Τῇ ἑσπέρᾳ κανὼν τοῦ ἁγίου ἀγαθονίκου Cp
heirm. α' ΕΕ 106, n. 149, Andreae

τῶν τοῦ κυρίου ἐντολῶν
καί, κατευθύνας τοὺς πόδας σου
πρὸς φωτισμὸν τὸν τῆς γνώσεως,
ἔφθασας
τὴν ἀκατάλυτον μονὴν
τῆς ἀιδίου ζωῆς.

Τοῖς τῶν αἱμάτων σου ῥείθροις
τὸν νοητὸν ἔπνιξας
καὶ ἀλαζόνα Φαραώ
καί, διελθὼν ὥσπερ θάλασσαν
τῆς ἀσεβείας τὸν καύσωνα,
ἔλαβες
κληροδοσίαν τῶν πιστῶν
τὴν μακαρίαν ζωήν.

Ἐπενδυσάμενος, μάρτυς,
τὸ τοῦ Χριστοῦ ὄνομα
ὥσπερ χιτῶνα φαεινόν,
τῆς ἀπιστίας τὴν νέκρωσιν
ἀπεξεδύσω, ἀοίδιμε·
ὅθεν νῦν
συνεξαστράπτεις ἐν φωτὶ
τοῖς τῶν ἀΰλων χοροῖς.

θεοτ. * Βάτος ἐν ὄρει Σιναίῳ
σὲ προτυποῖ μείνασα
ἄφλεκτος, ἄχραντε ἁγνή·
καὶ γὰρ τὸ πῦρ τῆς θεότητος
οὐ κατεφλέχθης κυήσασα,

7 μονὴν] ὁρμὴν O Ja Pv 9-16 tropario caret Pv 13 καύσωνα] κλύδωνα Cp O Ja 15 κληρονομίαν τοῖς πιστοῖς Ja 16 ζωὴν] τὴν ζωὴν Στ 17 μάρτυς] μάκαρ Cp O Ja 19 ὥσπερ] ὑπὲρ O 22 νῦν om. Cp Ja 23 συναστράπτεις Pv 24 ἀΰλων] ἀγγέλων O 25-32 θεοτ. AHG IX, 79; cfr. etiam in hoc volumine canonem IX, 22-28 26 μένουσα AHG 28 τὸ πῦρ] πυρὶ Pv

9-12 cfr. Ex. 14,28-29 25-27 Ex. 3,2

μένεις δὲ
ἀδιάφθορος ὡς πρὶν
καὶ μετὰ γέννησιν.

ᾠδὴ β'. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι
ὁ Θεὸς ὁ Λόγος,

Ἔχων ἐν γλώσσῃ σου
πῦρ τὸ τοῦ πνεύματος,
τῶν ἀπίστων πάσας
f. 123v τὰς ἀκανθώ||δεις προσβολὰς
ἐξαφανίζων,
κατέφλεξας τοῖς λόγοις σου
καὶ ὡς λύχνῳ τοὺς πιστοὺς
τοῖς διδάγμασιν ἦγες,
κατευθύνων
πρὸς Θεοῦ ἐπίγνωσιν.

Γνῶσιν τὴν ἄπταιστον
ἔχων, ἀοίδιμε,
τὴν σοφίαν πᾶσαν
τὴν τῶν ἑλλήνων σφαλερὰν
ἀποδεικνύων,
τοῖς πράγμασι τοὺς λόγους σου
ἐβεβαίους ἀληθῶς
καὶ τὸν αἴτιον πᾶσιν
ἐν τοῖς ἔργοις
ὑπεδείκνυς κύριον.

Σὺ τοῦ βαπτίσματος,
μάρτυς πανεύφημε,
τὴν στολὴν φυλάττων
φωτοειδῆ καὶ καθαράν,
ποικιλωτέραν
εἰργάσω, Ἀγαθόνικε,

---

30 μένεις] ἄφθορος Cp Ja 31 ἀδιάφθορος] διαμένεις Cp ἀδιαφθόρως O Pv AHG διαμεῖνασα Ja πρὶν] τὸ πρὶν Cp O Pv AHG
ode β' deest in Cp O Ja Pv
heirm. β' EE 104, n. 147, Andreae 49 ἐβεβαίοις cd.

τῶν αἱμάτων τῇ βαφῇ
καὶ τῶν ἄθλων τοῖς πόνοις
ὑπέρλαμπρον
καὶ ὡραίαν δείξας αὐτήν.

θεοτ. Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι
ὁ Θεὸς ὁ Λόγος,
ὁ τὴν παρθένον οὐρανόν,
σκηνὴν καὶ πύλην
καὶ στάμνον καὶ λυχνίαν χρυσῆν
προτυπώσας μυστικῶς,
δι' ἣν πάντες προφῆται
προεφώνουν
τὴν οἰκονομίαν μου.

ᾠδὴ γ'. *Ὁ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα*

Ἐν τῷ πυρὶ τῶν ἄθλων σου τὸ σῶμα
ἀναχαλκεύσας, ἔνδοξε,
ἠκονημένον βέλος σαυτὸν
ἀπειργάσω, διατέμνων
f. 124 τὰς τῶν δαιμόνων φάλαγ||γας
καὶ τὴν τῶν τυράννων ἰσχύν.

Ἀγαλλιάσω, μάρτυς, ἐν κυρίῳ
ἐν τῷ καιρῷ τῶν ἄθλων σου
καὶ ὡς εὐφρόσυνον γλυκασμὸν
τῶν βασάνων τὰς ἰδέας
καθυποφέρων ἔχαιρες,
σοφὲ Ἀγαθόνικε.

63-72 θεοτ. cfr. in AHG V, 406; VII, 278, ubi tres ultimos versus differunt
heirm. γ' EE 104, n. 147, Andreae 75 αὐτὸν O 76 διατέμνον Ja 78 τυράννων] ἀσεβούντων Cp εἰδώλων O τυραννούντων Pv 79 Ἀγαλλιάσω Στ O: cfr. Psaltes, 202; Mitsakis, 54 Ἠγαλλιάσω Cp Ja Pv v. 84 μαρτύρων ἐγκαλλόπισμα O

---

67 Ex. 25,9; 26,1 Ez. 44,1-2 68 Ex. 16,33-34 Ex. 25,31; Zach. 4,2 79 cfr. Ps. 94,1

Ὡς ἁλουργίδα βάψας σου τὸ σῶμα
τοῖς αἵμασιν, ἀοίδιμε,
περιεκόσμησας τὴν ψυχὴν
ὡς βασίλειον πορφύραν
καὶ ὡς τερπνὸν διάδημα
τὰς ἀρετὰς ἀνέθου αὐτῷ.

θεοτ. Ὁ Γεδεών σε πόκον προεώρα,
τὸν ὄμβρον τῆς θεότητος
ἐν τῇ γαστρί, ἄχραντε ἁγνή,
δεξαμένην καὶ τεκοῦσαν,
δι' οὗ τῆς πλάνης χείμαρροι
τελείως κατεκλύσθησαν.

ᾠδὴ δ'. *Ἀκήκοεν ὁ προφήτης*

Ἐπὶ τὴν πέτραν ἐρείσας
τοὺς πόδας σου, μακάριε, τὴν τοῦ κυρίου,
τῶν τυράννων τοῖς τοξεύμασιν
οὐκ ἐτρώθης
οὐδὲ ἐσαλεύθης τὸν νοῦν,
ἀλλ' ἔστης στερρῶς
μηδόλως δονούμενος.

Τῷ ῥείθρῳ τῶν σῶν αἱμάτων
εἰδωλικῆς ἐκάθηρας ἀκαθαρσίας,
ἀθλοφόρε, γῆς τὸ πρόσωπον
μιανθείσης

85-90 troparium om. Pv 90 σαυτῷ O Ja 91-96 θεοτ. cfr. in hoc volumine canonem IX, 75-80 91 πόκω Pv 93 τῇ] σοὶ O ἄχραντε ἁγνή] σου ὑπερφυῶς Cp Ja 94 δεξαμένη καὶ τεκοῦσα O 96 τελέως Cp

post oden γ' Cp, ante canonem O (f. 144v) Ja (f. 157v) praebent κάθ. Τὸ ὀπτικόν σου τῆς ψυχῆς ed. in MR VI, 477, sed sancto Luppo dicatum, cfr. etiam p. 311

heirm. δ' TR 66; idem in EE deest 102 ἀλλὰ Ja ἔστης om. Ja 104-110 troparium deest in Pv 104 τῶν σῶν] τῷ τῶν Cp Ja 105 ἐκκαθάρας Στ

91 Jud. 6,37-40 97-98 cfr. Matth. 7,24; Luc. 6,48

αἵμασι καὶ κνίσῃ φθορᾶς
καὶ ὅλην αὐτὴν
ἡγίασας, ἔνδοξε.

Ἐκ δεξιῶν σου προβλέπων
τὸν κύριον, πανεύφημε, ἐν τῷ σταδίῳ,
οὐκ ἐνάρκησας, οὐκ ἔπτηξας
τὰς βασάνους,
f. 124v μάρ‖τυς Ἀγαθόνικε,
ἀλλ' ἔστης στερρῶς
χαίρων τῇ ἐλπίδι Χριστοῦ.

θεοτ. Ὦ βάθος πλούτου σοφίας
καὶ γνώσεως τοῦ κράτους σου, μόνε οἰκτῖρμον·
τίς γὰρ ἔγνω τῆς κενώσεως
σοῦ τὸν τρόπον;
ὅλος γὰρ ἀνέκφραστος
καὶ ὅλος φρικτός,
Θεὸς γὰρ ὤν, γέγονας σάρξ.

ᾠδὴ ε'. *Ἀνάτειλόν μοι, κύριε,*
τὸ φῶς τῶν προσταγμάτων σου

Ὡς κάλαμος ὀξύτατος
ἡ γλῶσσά σου τοῖς αἵμασι
τοῦ μαρτυρίου ἐμβαφεῖσα,
τὴν ἀνόθευτον πίστιν
τοῦ Χριστοῦ κατέγραψεν,
Ἀγαθόνικε, σοφῶς
ἐν καρδίαις τῶν πιστῶν.

Τὸ κάλλος τὸ ἀμήχανον
τοῦ Ἰησοῦ, πανένδοξε,

116 ἀλλὰ Ja 118 βάθους Στ 119 κράτουσου Ja 120 κενώσεως] κυήσεως Ja 122 ὅλως Ja Pv 123 ὅλως Ja φρικτῶς. Ja v. 124 πῶς γέγονας σὰρξ ὁ θεὸς Cp γέγονεν Ja

heirm. ε' EE 106, n. 149, Andreae 127 ἐκβαφεῖσα Cp ἐμφανεῖσα O v. 130 μάρτυς ἀγαθόνικε Cp σοφῶς] σαφῶς O μάρτυς Ja 132-138 troparium om. Ja Pv

ἐπιποθήσας, Ἀγαθόνικε,
τὸ τοῦ σώματος νέον
δι' αὐτὸν παρέδωκας
ταῖς βασάνοις, προθύμως
ὁλοκαυτούμενος αὐτῷ.

Ἡ χάρις ἡ τοῦ πνεύματος
ἐν σοὶ ἐπισκιάσασα,
γνώσεως θείας σὲ ἐπλήρωσε·
διὸ ἐκ τῶν κτισμάτων
τὸν κτίστην κατέμαθες
καὶ ἐκ τῶν ὁρωμένων
τὰ ἀόρατα ἔγνως.

θεοτ. * Ἑπτάφωτον λυχνίαν σε
καὶ πύλην ἀδιόδευτον
καὶ κιβωτὸν καὶ στάμνον ἔχουσαν
θεότητος τὸ μάννα
καὶ σκηνὴν καὶ τράπεζαν
πάντες ὀνομάζομεν,
Μαρία ἄχραντε, ἁγνή.

ᾠδὴ ϛ'. *Ἐν πελάγει τοῦ βίου*

Ἐκ βυθοῦ τῶν εἰδώλων
εἰς ὄρος Θεοῦ
f. 125 || ἀνέδραμες, σοφέ,
καί, κατοπτεύσας
τὰ προστάγματα αὐτοῦ,
ἐμυήθης τὰ θεῖα,
ἐντεῦθεν πρὸς θείαν γνῶσιν
ἀναχθεὶς τῆς Χριστοῦ σοφίας.

---

137 πρόθυμον Cp   141 πεπλήρωκε Cp   142 τῶν in margine eadem manus add. in Στ   145 ἔγνως] σοφὲ Cp O Ja   146-152 θεοτ. AHG IX, 85; cfr. etiam in hoc volumine canonem IX, 122-128   151 ὀνομάζωμεν O Ja heirm. ϛ' EE 106, n. 149, Andreae   154 εἰς] ὡς Ja   156 κατόπτευσας Ja   159 πρὸς θείαν γνῶσιν] πρόστάγματα O   πρὸς γνῶσιν δὲ Ja   160 ἀνεχθεὶς O   ἀνηνέχθης Ja   τῆς om. Ja   Χριστοῦ] τοῦ χριστοῦ Pv

---

146 Ex. 25,31; Zach. 4,2   147 Ez. 44,1-2   148 Ex. 25,10ss. 148-149 Ex. 16,33-34   150 Ex. 25,9; 26,1   Ex. 25,23

Τῷ πυρὶ τῆς ἀγάπης
Χριστοῦ ἐκκαυθεὶς
τὸν νοῦν θεοπρεπῶς,
κατεφωτίσθης
ἐν τῇ χάριτι αὐτοῦ,
Ἀγαθόνικε μάρτυς,
τὴν φλόγα τὴν τῶν βασάνων
ὥσπερ δρόσον καθυπενέγκας.

Ἐν τῷ σώματι σπείρας
τοὺς πόνους, σοφέ,
τῶν ἄθλων νοητῶς,
μετ' εὐφροσύνης
τῆς ἐλπίδος τοὺς καρποὺς
τῆς ψυχῆς συνελέξω·
διὸ καὶ ἐπαπολαύεις
τῆς τρυφῆς τῆς ἀθανασίας.

θεοτ. Κεκλεισμένη ἡ πύλη
ἣν εἶδε ποτὲ
ὁ Ἰεζεκιήλ,
δι' ἧς διῆλθεν
ὁ ἀχώρητος παντί,
κεκλεισμένην φυλάξας
τὴν μήτραν τὴν ἄχραντον
ὥσπερ ἦν καὶ πρὸ τῆς λοχείας.

161-168 troparium deest in Pv   v. 164 κατενωτίσθης Ja   167 post φλόγα om. τὴν Ja   τῶν βασάνων] ἄστεκτον O   168 καθυπήνεγκας O Ja 169-176 troparium deest in Ja   174 τῇ ψυχῇ Cp   175 ἀπέλαβες O 176 τὴν τρυφὴν τῆς ἀπολαύσεως O   179 ὁ om. O   183 post ἄχραντον add. σου Cp   184 λογχείας Στ

post oden ϛ' (f. 211) κάθ. refert Pv:

Κάθισμα.

Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ Λόγου*

Τῶν αἱμάτων σου ῥείθροις
τὸν νοητὸν
Φαραὼ ἀποπνίξας
σὺν τοῖς αὐτοῦ στρατεύμασιν, ἔνδοξε,
πρὸς τὴν γῆν μεταβέβηκας,

177-179 Ez. 44,1-2

ᾠδὴ ζ'. *Πῦρ φλέγον ἐν καμίνῳ ἐξετινάσσετο*

Αἵμασιν ἀθλήσεως ἀντωνησάμενος,
μάρτυς Ἀγαθόνικε,
οὐρανῶν βασιλείαν,
καταλλαγὰς ἀνεδέξω
ἀντὶ τῶν φθαρτῶν τὰ ἀκήρατα.

Ὅπλον ἀπροσμάχητον ἔχων, πανένδοξε,
τὸν σταυρὸν τὸν τίμιον,
τῶν ἐχθρῶν συνασπισμὸν
συνδιακόψας, τὸ κράτος
ἦρας κατ' αὐτῶν, Ἀγαθόνικε.

f. 125v Τὸ ὄμμα τῆς καρδίας ἄγρυπνον ἔχων || ἀεὶ
πρὸς Θεόν, ἀοίδιμε,
οὐκ ἐνύσταξας ὅλως,
οὐκ ἐχαυνώθης τῇ γνώμῃ
τοῖς τῶν ἀσεβῶν δελεάσμασιν.

ἣν πραεῖς οἰκοῦσιν
καὶ μάρτυρες ἅπαντες,
ἀφθαρσίας στέφος
λαβών, ἀξιάγαστε·
ὅθεν ἀναβλύζεις
τοῖς ποθοῦσιν ἰάσεις
καὶ παύεις παθήματα,
ἀθλητὰ Ἀγαθόνικε·
<— — ⏑́ — — ⏑́ — —>
πρέσβευε Χριστῷ τῷ Θεῷ
τῶν πταισμάτων <ἄφεσιν δωρήσασθαι
τοῖς ἑορτάζουσι πόθῳ
τὴν ἁγίαν μνήμην σου>.

heirm. ζ' EE 105, n. 147, Andreae; heirm. integer in O heirm. 1 Πῦρ φλογίζων κάμινον O 189 ἀκήρατα] ἄφθαρτα O 190 ἔχων, πανένδοξε,] τὸ ὅπλον τὸ τοῦ σταυροῦ Cp ἔχον τὸ ὅπλον τοῦ σταυροῦ Ja v. 191 ἔχων παναοίδιμε Cp μάρτυς παναοίδιμε Ja 195-199 troparium om. Pv 195 ἀεὶ] πρὸς θεὸν Cp O Ja v. 196 μάρτυς ἀγαθόνικε Cp Ja ἀοίδιμε ἔνδοξε O 198 ἐχαυνώθης] ἐχωνεύθης Στ Ja

θεοτ. Ἀνήροτος ἄρουρα ὤφθης ἀνθήσασα
στάχυν ἀγεώργητον,
τὸν ἀνοίγοντα χεῖρα
καὶ ἐμπιπλῶντα πᾶν ζῶον,
Χριστὸν τὸν Θεὸν ἡμῶν, πανάμωμε.

ᾠδὴ η'. *Γῆ καὶ πάντα τὰ ἐν αὐτῇ*

Σὺ ὡς ἥλιος φαεινὸς
ἔλαμψας
ἐν σκότει καὶ σκιᾷ,
τῆς ἀθεΐας, ἀθλητά,
τὴν ὁμίχλην διασκεδάσας
καὶ φῶς ἀπαστράπτεις
τὸ τῆς πίστεως, μάρτυς, τοῖς πέρασι,
Χριστὸν ἐκδιδάσκων
ὑμνεῖν εἰς τοὺς αἰῶνας.

Σὺ πρὸς ὕψος τὸ τοῦ Θεοῦ
ἀνέδραμες
τῇ γνώμῃ σου, σοφέ,
καί, κατοπτεύσας νοητῶς
τῶν ἀδήλων αὐτοῦ κριμάτων
τὰς θείας ἐμφάσεις,
ἐδιδάχθης ἀπόρρητα ῥήματα
καὶ τὴν τῶν εἰδώλων
ἀπάτην ἐβδελύξω.

200-204 θεοτ. cfr. in hoc volumine canonem IX, 175-180 200 ἀνθήσασα] κυήσασα Cp Ja ἀσκήσασα Pv 202 χεῖρα τὸν ἀνοίγοντα Cp
heirm. η' EE 107, n. 150, Andreae 205 φαεινὸς] ἐμφανῶς Ja 210 ἀπαστράψας Cp 212 ἐκδιδάσκεις Cp 213 ὑμνεῖτε O τοὺς om. O 214-222 tropario caret Pv 216 γνώμῃ] γνώσει Cp O Ja 217 κατόπτευσας Ja

---

200 Gen. 21,33 207-208 cfr. Ps. 106,10

Ὡς γενναῖος καὶ δυνατὸς
γενόμενος
ἐν χάριτι Θεοῦ
καὶ ἐν σταδίῳ συμπλακεὶς
τῷ ἀμέτρητα καυχωμένῳ,
εἰς γῆν τοῦτον ῥίψας,
κατεπάτησας, μάρτυς, καὶ ἔψαλλες·
« ὑμνῶ σε τὸν κτίστην,
Χριστέ, εἰς τοὺς αἰῶνας ».

θεοτ. * Γῆ ἁγία, θρόνος Θεοῦ,
παλάτιον
καὶ ῥάβδος Ἀαρών,
θυμιατήριον χρυσοῦν,
ἀλατόμητον, θεῖον ὄρος,
παρθένος καὶ μήτηρ
f. 126 ἀπειράνδρως τεκοῦσα || καὶ τρέφουσα
πάντων τὸν τροφέα
σὺ εἶ, εὐλογημένη.

ᾠδὴ θ'. *Ὅτι ἐποίησέ μοι*
μεγαλεῖα ὁ δυνατός

Τὸ κάλλος τῆς ψυχῆς σου
τὸ τοῦ σώματος, ἀθλητά,
ὡραῖον κατεμήνυε σαφῶς·
ἀγγελόμορφος ὀφθεὶς
ἐν ἑκατέροις τῷ φαιδρῷ
λάμπων τῆς χάριτος.

223-231 troparium om. Ja 225 ἐν] τῇ Cp 227 ἀμέτρητα pro ἀμετρήτως: cfr. Psaltes, 341; Mitsakis, 45 227-228 τῷ τυράννῳ κατηγωνίσω / αὐτὸν τοὺς ἐχθροὺς δὲ Cp v. 230 σὲ ὑπερυψῶ Cp ὑμνῶν τὸν δεσπότην O ὑπερευλογῶ σε Pv 231 Χριστὲ εἰς] τὸν χριστὸν εἰς Cp εἰς πάντας O, qui cetera excidit 232-240 θεοτ. AHG IX, 89; cfr. etiam in hoc volumine canonem IX, 202-208 232 Γῆ ἁγία παρθένε ἁγία Ja 237 καὶ μήτηρ παρθένος AHG παρθένε Ja

heirm. θ' EE 106, n. 149, Andreae 243 κατεμήνυσεν Ja σαφῶς] σοφὲ O 244 ὀφθεὶς] φανεὶς Cp ὤφθης Ja 245 τὸ φαιδρὸν Cp Ja Pv

232 Gen. 21,33 Dan. 7,9 234 Num. 17,23 235 Hebr. 9,4 236 Dan. 2,34.45

Τοῦ πνεύματος ὑπάρχων
οἰκητήριον, ἀθλητά,
ταμίας τῶν χαρίτων τῶν αὐτοῦ
ἀνεδείχθης ἀληθῶς·
διὸ παρέχεις τοῖς πιστοῖς
θεῖα θαυμάσια.

Τὸ πήλινόν σου σῶμα
ἀνεχώνευσας, ἀθλητά,
τοῖς ἄθλοις, Ἀγαθόνικε σοφέ,
καὶ χρυσίον καθαρὸν
ὑπεραστράπτον τηλαυγῶς
τοῦτο ἀνέδειξας.

θεοτ. || * Ἐλπὶς καὶ προστασία
τῶν πιστῶν ὑπάρχουσα,
διάσωζε ἡμᾶς ἐκ τῶν παθῶν
καὶ παντοίων πειρασμῶν
τοὺς θεοτόκον σε ἀεὶ
ὁμολογοῦντας, ἁγνή.

249 ταμεῖον O αὐτῶν Ja 251 διὸ] δι' ὧν Cp 253-258 troparium om. Pv 254 ἀνεχώνευσεν Ja 256 καὶ χρυσίου καθαροῦ Cp 257 ὑπεραστράπτων Στ Cp O 259-264 θεοτ. MR I, 132;cfr. etiam in hoc volumine canonem IX, 227-232

22 AUG. *CANON* XXVI

IN SANCTUM AGATHONICUM ET SOCIOS MARTYRES

Matrit. gr. 4694 = A, ff. 207v-209

Ὁ κανών.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ἄσωμεν τῷ κυρίῳ*
τῷ διαγαγόντι τὸν λαὸν αὐτοῦ

Δεῦτε, πιστοί, συμφώνως
τὸν θαυμαστὸν καὶ ἔνδοξον τιμήσωμεν
Ἀγαθόνικον πάντες,
ὡς εἰδώλων τὴν πλάνην ἐλάσαντα.

Πάλαι μεγαλοφώνως
τολμηρὸς ὀνόματι Εὐτόλμιος
κατὰ τῶν εὐσεβούντων
καθαιρεῖται τῇ πίστει ἐν μάρτυσιν.

f. 208 || Πάλαι διωκομένη
ὑπὸ τῶν τυράννων ἡ εὐσέβεια,
μέσος ἔστη γενναίως
Ἀγαθόνικος τρέπων τὴν πλάνην αὐτῶν.

θεοτ. Δέσποινα θεοτόκε,
ἡ σαρκὶ γεννήσασα τὸν κτίστην σου,
δυσωποῦσα μὴ παύσῃ
λυτρωθῆναι κινδύνων τοὺς δούλους σου.

heirm. α' EE 224, n. 321, Joannis 6 τολμηρῶς 9-10 διωκομένη . . . ἡ εὐσέβεια: nominativus absolutus: cfr. MITSAKIS, 158-159, 160 11 μέσως

ᾠδὴ γ'. *Ὁ στερεώσας λόγῳ τοὺς οὐρανοὺς*

Τὸ τῆς ψυχῆς σου ὄμμα πρὸς τὸν Θεὸν
ἀτενίζων, μάρτυς, ἐν τοῖς ἀγῶσί σου,
τὸν δόλιον κατῄσχυνας,
νίκην οὐρανόθεν δεξάμενος.

Τοῖς ἐκτελοῦσι πίστει τὴν ἑορτὴν
τῆς ὑμῶν ἀθλήσεως, ἀθλοφόροι Χριστοῦ,
πταισμάτων συγχώρησιν
ἐκ Θεοῦ αἰτήσασθε, ἅγιοι.

Πόθῳ συντρέχει πᾶς εὐσεβὴς
καὶ Θεὸν δοξάζει τὸν στεφοδότην ὑμῶν,
μαρτύρων πλήθη ἔντιμα,
ὡς Χριστὸν ἀεὶ ἱκετεύοντα.

θεοτ. Χαῖρε, ναὲ καὶ θρόνε καὶ κιβωτέ,
χαῖρε, ὄρος θεῖον, χαῖρε, ἡ βάτος ἡ πρὶν
τὸ πῦρ τὸ τῆς θεότητος
σαρκὶ ὑπερφυῶς μόνη τίκτουσα.

Κάθισμα.

Ἦχος δ'. *Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ ἑκουσίως*

* Τὸ ὀπτικόν σου τῆς ψυχῆς ἀποκαθάρας,
καθυπεδέξω τὴν αὐγὴν τῆς τριάδος
καὶ τὰς ἐν ζόφῳ πάντοτε ψυχὰς ἐφώτισας
αἴγλῃ θείων λόγων σου,
Ἀγαθόνικε μάρτυς·
ὅθεν πρὸς ἀνέσπερον
μεταβέβηκας φέγγος,

heirm. γ' EE 226, n. 324, Germani 17 Τὸ . . . ὄμμα pro Τῷ . . . ὄμματι metri causa: cfr. MITSAKIS, 25c, 96 § 149

κάθ. MR VI, 477-478, sed sancto Luppo dicatum 1 ἐκκαθάρας MR 3 πάντοτε] πάνσοφε MR ἐφώτισας ψυχὰς MR v. 5 Λοῦππε μάρτυς Κυρίου MR

29 Dan. 7,9 Ex. 25,10; Jos. 3,14-17 30 Dan. 2,34.45 30-31 Ex. 3,2

ὑπὲρ ἡμῶν ἀπαύστως δυσωπῶν
τῶν σὲ τιμώντων
καὶ πίστει ὑμνούντων σε.

ᾠδὴ δ'. *Εἰσακήκοα, κύριε,*
τὴν ἀκοήν σου καὶ ἐφοβήθην

Πρὸς φωτισμὸν τοῦ βαπτίσματος
καθοδηγήσας, θεόφρον μάρτυς,
τοὺς ἀπίστους, πεφανέρωσαι
τῶν πιστῶν ἀληθῶς
ἑδραίωμα ἄσειστον.

Ὡς ἀθλοφόρος ἀήττητος
τοῦ βασιλέως Θεοῦ τῶν ὅλων
παρρησίᾳ ἐστηλίτευσας
βασιλέα, ἄφθαρτον
στέφος ἀφθαρσίας λαβών.

f. 208v ‖ Ὡς ἀείφωτον λύχνον σε
τῆς εὐσεβείας ἀνευφημοῦμεν·
σὺ γὰρ πάντας κατεφώτισας,
πρὸς ἐπίγνωσιν
Χριστοῦ ὁδηγήσας, σοφέ.

θεοτ. * **Χαῖρε, θρόνε πυρίμορφε,**
χαῖρε, λυχνία λαμπαδηφόρε,
νοερὸν θυσιαστήριον,
κιβωτὲ λογική,
ἁγία ἁγίων σκηνή.

48-52 θεοτ. AHG VII, 190.243; cfr. etiam TR 472 50 post νοερὸν add. Θεοῦ AHG VII, 190
heirm. δ' EE 231, n. 331, Andreae

38-42 AA.SS. Aug. IV (1739) 523 § 5: ... κἀκεῖ τὸν Χριστὸν ὁμολογήσας καὶ στηλιτεύσας τὴν πλάνην τῶν εἰδώλων, τύπτεται σφοδρῶς. Ἔπειτα ἀπάγεται πρὸς Μαξιμιανὸν ... κἀκεῖ πάλιν μετὰ παρρησίας τὸν Χριστὸν ἀνακηρύξας Θεὸν καὶ στηλιτεύσας τὴν ἄνοιαν τῶν σεβομένων τὰ εἴδωλα, μετὰ πολλὰς τὰς τιμωρίας ... ἀπετμήθη τὴν κεφαλὴν ...

41-42 I Cor. 9,25 48 Dan. 7,9 49 Ex. 25,31; Zach. 4,2 50 Sap. 9,8 51 Ex. 25,10; Jos. 3,14-17 52 Ex. 25,9; 26,1; Sap. 9,8; Sir. 24,10

ᾠδὴ ε'. *Ὁ ἐκ νυκτὸς ἀγνοίας*
θεογνωσίᾳ φαιδρύνας τὰ πέρατα

Ἐν τῷ φωτὶ κυρίου
καταλαμπόμενος, μάρτυς ἀοίδιμε,
τῇ στερρᾷ σου ἀθλήσει
τὴν πλάνην τῶν εἰδώλων ἠμαύρωσας.

Ἐν τῷ ναῷ σου, μάρτυς,
τὴν σὴν ὑπέρλαμπρον μνήμην τελοῦντες πιστῶς,
τὸν σωτῆρα ὑμνοῦμεν
τὸν σὲ ἐν οὐρανοῖς μεγαλύναντα.

Τὰς ἀπειλὰς ὁ μάρτυς
μὴ πτοηθεὶς τῇ ἐλπίδι Χριστοῦ τοῦ Θεοῦ,
τὸν ἐχθρὸν ἐπτόησε
καὶ νίκην κατ' αὐτοῦ ἐκομίσατο.

θεοτ. * Τῶν Χερουβὶμ φανεῖσα
τιμιωτέρα, παρθένε πανύμνητε,
πρέσβευε τῷ υἱῷ σου
σῶσαι τὰς ψυχὰς τῶν ὑμνούντων σε.

ᾠδὴ ϛ'. *Συνεχόμενον δέξαι με, φιλάνθρωπε,*

Ἐν τῇ ῥάβδῳ τῆς πίστεως, μακάριε,
διαρρήξας σοφῶς καὶ τὴν θάλασσαν
τῆς ἀσεβείας
ἀβρόχως διεπέρασας ἀθλήσει σου.

Τελειώσας τὸν δρόμον τῆς ἀθλήσεως,
ἑαυτὸν τῷ Χριστῷ προσενήνοχας

---

heirm. ε' EE 226, n. 323, Germani, cfr. et EE 229, n. 329, Andreae
65-68 θεοτ. AHG III, 68.139; VI, 379; VII, 182.243
heirm. ϛ' EE 226, n. 324, Germani

69-71 cfr. Ex. 14,16 ss. 73 cfr. II Tim. 4,7 74-75 cfr. Rom. 12,1

θυσίαν, μάρτυς·
διὸ ἀπαύστως πρέσβευε σωθῆναι ἡμᾶς.

Τοὺς ἐν πλάνῃ ὑπάρχοντας, μακάριε,
πρὸς τὴν πίστιν Χριστοῦ καθωδήγησας,
ὡς εἰς λιμένα
σωτήριον, δοξάζοντας τὸν πάντων Θεόν.

θεοτ. Ἡ τὸ πῦρ τῆς θεότητος ἐν σπλάγχνοις σου
δεξαμένη, ἁγνή, καὶ κυήσασα
ἀκαταφλέκτως,
πηγὴ ζωῆς, τὸν κύριον, σῶσον ἡμᾶς.

ᾠδὴ ζʹ. *Ὁ δι' ἀγγέλου παῖδας*
ἐκ φλογὸς διασώσας

Ἐνδεδυμένος, μάρτυς,
τὸν Χριστόν, ἐν σταδίῳ
τὸν ἐχθρὸν ἐγύμνωσας
καὶ ἀσθενῆ εἰργάσω
τὰ μηχανήματα αὐτοῦ
διὰ πίστεως.

Τὴν τῶν εἰδώλων πλάνην
f. 209 || ἀπελάσας, ἅγιε,
τοὺς ἐν τῇ πλάνῃ κάμνοντας
πρὸς πίστιν τοῦ κυρίου
καθοδηγήσας, τῶν πιστῶν
ἀνεδείχθης φωστήρ.

Τὰς τῶν ἐχθρῶν ἐπάρσεις
ἐταπείνωσας, μάρτυς,
τὸ τοῦ Χριστοῦ ποτήριον

---

heirm. ζʹ EE 228, n. 326, Andreae et EE 229, n. 329, Andreae
heirm. 2 φλογὸς] πυρὸς EE

99-100 cfr. Matth. 20,22; Marc. 10,38

πιὼν τῇ σῇ ἀθλήσει,
καὶ ἀνυψώθης ἐμφανῶς
ὡς αὐτοῦ ἐραστής.

θεοτ. Τοῦ Ἰεσσαὶ ἡ ῥίζα
ἐδοξάσθη ἐν κόσμῳ,
ἐξ ἧς Θεὸς ἐβλάστησε
ῥάβδον, τὴν θεοτόκον,
καρπογονήσας ἐκ γαστρὸς
τὸν κατὰ σάρκα Χριστόν.

ᾠδὴ ηʹ. *Τὸν ἐν ὄρει*
ἁγίῳ δοξασθέντα

Ὑπομείνας,
γενναῖε ἀθλοφόρε,
τὰς βασάνους
τῶν ἐχθρῶν εὐχαρίστως,
μετὰ τῶν παίδων πίστει ἀνεκραύγαζες·
« κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

Τὸν παρασχόντα
τῆς νίκης τὸ βραβεῖον
τῷ ἀθλοφόρῳ
ἐν καιρῷ τῶν ἀγώνων
καὶ δι' αὐτοῦ τὴν πλάνην καταλύσαντα

---

heirm. ηʹ EE 226, n. 323, Germani 115-116, 123-124, 131-132, 139-140 vv. detruncantur

---

109-116 B. Latyšev, *Menologii anonymi byzantini saeculi X quae supersunt*, II, Petropoli 1922, 309[16-17]: ... χαίρων οὖν ὁ μάρτυς ... πρὸς τὸν τῆς τελειώσεως ἀπαγόμενος τόπον ... « εὐλογητὸς κύριος » ἔψαλλεν ...

103-106 Is. 11,1

κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Τὸν ἐνεργοῦντα
δυνάμεις ἰαμάτων
τοῖς ἀσθενοῦσι
διὰ τοῦ ἀθλοφόρου,
ὡς λυτρωτὴν τοῦ κόσμου καὶ βασιλέα
κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

θεοτ. * Τὸν ἐν μήτρᾳ
οἰκήσαντα παρθένου
καὶ ἐν ταύτῃ
φρικτῶς καὶ ὑπὲρ λόγον
τὸν παλαιὸν Ἀδὰμ ἀναπλάσαντα
κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

ᾠδὴ θ'. Τὸν προδηλωθέντα ἐν ὄρει τῷ νομοθέτῃ

Ἐτησίαν μνήμην συμφώνως πάντες ⟨τιμῶντες⟩
τοῦ ἐνδόξου μάρτυρος

133-140 θεοτ. MR I, 34; AHG I, 70.85; III, 142-143; VII, 185.245-246. 254; cfr. etiam in hoc volumine canonem XII(1), 182-189 135 ἐν αὐτῇ AHG VII, 245 ἐκ ταύτης AHG VII, 185.254 137 ἀναπλάσαντα] ἀνακαινίσαντα AHG I, 70.85; VII, 185.254 MR 140 αὐτὸν εἰς] εἰς πάντας AHG I, 70.85; III, 143 MR

heirm. θ' EE 226, n. 324, Germani 141 τιμῶντες propter sensum et metrum scripsi

---

125-128 PG 154,1237B: Ὁπόσοι γὰρ ... πονήρως καὶ ἀσθενῶς κατέκειντο, ἐλθόντες τῇ τοῦ θείου μάρτυρος τούτου σορῷ, ἀπηλλάττοντο καὶ οὐδὲ ἴχνος ἀσθενείας ὅλως κατείχοντο. Ὅθεν καὶ τῷ μεγαλομάρτυρι Ἀγαθονίκῳ τὰς εὐχαριστίας καὶ ὑμνῳδίας προσέφερον. Οὐχ ἧττον δ' ἐξ ἐκείνου καὶ ὁσημέραι τοιαῦτα ποιεῖ θαυμάσια ἡ θεία κάρα αὐτοῦ, ἐσαεὶ ἰάσεις ἐπιτελοῦσα καὶ θεραπεύουσα πᾶσαν νόσον ... cfr. etiam PG 154,1232B.

καὶ σεπτοῦ στεφανίτου,
τὸν ἀθλοθέτην καὶ κύριον πάντες
ὕμνοις ἀσιγήτοις μεγαλύνομεν.

Οὔτε πῦρ, οὐ ξίφος, οὐ κίνδυνος οὐδὲ βόθρος
τῆς ἀγάπης ὄντως Θεοῦ
χωρίσαι ἠδυνήθη
τὸν γενναῖον τῆς ἀληθείας ὁπλίτην,
ἀλλὰ μᾶλλον πίστει ἐβεβαίωσεν.

Τοὺς τὴν σὴν σεβάσμιον μνήμην ἐπιτελοῦντας,
παρεστώς, πανεύφημε,
τῷ θρόνῳ τοῦ δεσπότου,
ταῖς πρεσβείαις σου, ἀθλητὰ τοῦ σωτῆρος,
ῥῦσαι ἀπὸ πάσης περιστάσεως.

θεοτ. * Σὺ εἶ, θεοτόκε, τὰ ὅπλα ἡμῶν καὶ τεῖχος,
σὺ εἶ ἡ ἀντίληψις
τῶν εἰς σὲ προστρεχόντων,
σὲ καὶ νῦν εἰς πρεσβείαν κινοῦμεν,
ἵνα λυτρωθῶμεν τῶν ἐχθρῶν ἡμῶν.

156-160 θεοτ. MR II, 270; AHG III, 71.145.174; V, 235.301; VI, 382; VII, 186.246.255; IX, 279; cfr. etiam in hoc volumine canonem XII(1), 205-209 157 ἡ om. cd.

146-149 cfr. Rom. 8, 35.39

26 AUG. *CANON* XXVII

IN SS. ADRIANUM, NATALIAM ET SOCIOS MARTYRES

Synaxarium, 923-926: Ἄθλησις τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων Ἀ δ ρ ι α ν ο ῦ καὶ Ν α τ α λ ί α ς ... καὶ τῆς συνοδίας αὐτῶν. Ὁ μάρτυς Ἀδριανὸς καὶ Ναταλία ἡ αὐτοῦ γαμετὴ ὑπῆρχον ἐκ πόλεως Νικομηδείας. Ἐν τῇ δευτέρᾳ οὖν περιόδῳ τοῦ Μαξιμιανοῦ συνελήφθησαν ἄνδρες χριστιανοὶ τὸν ἀριθμὸν εἴκοσι τρεῖς, οἳ σπηλαίοις ἐκρύπτοντο, καὶ πλείστοις αἰκισμοῖς ὑπεβλήθησαν. Οὓς ἠρώτησε πρὸ τοῦ μαρτυρῆσαι ὁ Ἀδριανός· « ἀντὶ τίνος τὰς δεινὰς καὶ ἀνυποίστους ὑφίστασθε τιμωρίας; » Αὐτῶν δὲ ἀποκριθέντων· « ἵνα κερδήσωμεν τὰ παρὰ τοῦ Θεοῦ ἑτοιμασθέντα ἀγαθὰ τοῖς ὑπὲρ αὐτοῦ πάσχουσιν, ἃ οὔτε ἀκοὴ χωρῆσαι οὔτε λόγος δύναται παραστῆσαι », εὐθὺς ὁ μακάριος Ἀδριανὸς ὑπὸ τῆς θείας χάριτος κατανυγείς, τοῖς ταχυγράφοις εἶπε συντάξαι καὶ τὸ αὐτοῦ ὄνομα μετὰ τῶν χριστιανῶν· « ἡδέως γάρ, ἔφη, συναποθνήσκω αὐτοῖς ». Τῶν δὲ καὶ γραψάντων καὶ σιδήροις αὐτὸν ἀσφαλισαμένων, ὡς ἔγνω ταῦτα ἡ Ναταλία ... ἐπὶ τὸ δεσμωτήριον ἔσπευσεν. Εἰσελθοῦσα δὲ τὰ περικείμενα κλοιὰ τῷ ἁγίῳ Ἀδριανῷ κατησπάζετο καὶ αὐτόν τε τῆς προθυμίας καὶ ὁρμῆς ἐμακάριζε καὶ ἀσάλευτον πρὸς τὰς ἐπιφορὰς τῶν βασάνων μένειν παρῄνει καὶ τοὺς σὺν αὐτῷ ἁγίους παρεκάλει ὑπὲρ αὐτοῦ εὔχεσθαι ... Ἐπεὶ οὖν κατέλαβον ἔνθα ἔδει αὐτοὺς προελθεῖν, εἰσήχθη πρὸς τὸν βασιλέα ὁ μακάριος Ἀδριανὸς καὶ τὸν Χριστὸν Θεὸν εἶναι ὁμολογήσας, τύπτεται ξύλοις καὶ ἐπιμένων τῇ ὁμολογίᾳ, ἀνατραπεὶς ὕπτιος τοσοῦτον κατὰ τῆς γαστρὸς αἰκίζεται, ὡς ὀφθῆναι τὴν ἔνδον οἰκονομίαν τῶν σπλάγχνων αὐτοῦ. Ἦν δὲ ὅτε ταῦτα ἔπασχεν ἐτῶν εἰκοσιοκτώ. Ἀκρωτηριασθῆναι οὖν μετὰ ταῦτα κελευσθεὶς αὐτός τε καὶ οἱ λοιποὶ ἅγιοι μάρτυρες, πρῶτος τὴν ἐκκοπὴν ὑπέστη τῶν ποδῶν καὶ τῶν χειρῶν, τῆς Ναταλίας καθ' ἓν ἕκαστον τοῦτο λαμβανομένης καὶ ἐπὶ τὸν ἄκμωνα τιθείσης καὶ τὸν μὲν δήμιον παρακαλούσης ἐπενεγκεῖν κραταιῶς καὶ μὴ φείδεσθαι, Ἀδριανὸν δὲ τὸν μάρτυρα ὑπενεγκεῖν στερρῶς καὶ μὴ προδοῦναι δειλίᾳ τὴν ὑπὲρ Χριστοῦ ἄθλησιν. Ἐν τούτῳ δὲ τελειωθέντος τοῦ ἁγίου Ἀδριανοῦ καὶ τῶν λοιπῶν ἁγίων, ἡ Ναταλία, τῶν σωμάτων αὐτῶν μελλόντων διὰ πυρὸς δαπανᾶσθαι, τὴν χεῖρα Ἀδριανοῦ ἐξέκλεψε καὶ ἐγκολπωσαμένη ἠκολούθει τοῖς λειψάνοις μεθ' ἑτέρων γυναικῶν, δεχομένη τὰ ἐκ τῶν σωμάτων ἀποστάζοντα αἵματα καὶ τούτοις ἀλείφουσα ἑαυτήν. Τοῦ δὲ πυρὸς ὑπὸ ὑετοῦ, ὃς ῥαγδαῖος τότε κατηνέχθη, σβεσθέντος, Εὐσέβιός τις πιστὸς ὢν τὰ τῶν ἁγίων ἀνελόμενος λείψανα καὶ ἐν ἀκατίῳ θέμενος καὶ κομίσας ἐν Ἀργυροπόλει πλησίον τοῦ Βυζαντίου κατέθηκεν, ἔνθα καταπλεύσασα ὕστερον ἡ Ναταλία τῷ Θεῷ τὸ πνεῦμα παρέδωκε καὶ πλησίον τῶν λειψάνων κατετέθη τῶν ἁγίων μαρτύρων. .....

Mess. gr. 136 = Mf, ff. 303^{v}-308^{v}
Paris. gr. 13 = Q, ff. 378^{v}-379
Paris. gr. 1568 = Pc, ff. 185^{v}-189

Ὁ κανών· Θεοφάνους

Ἦχος πλ. β'.

ᾠδὴ α'. *Ὡς ἐν ἠπείρῳ πεζεύσας*

Τῶν σῶν συνάθλων τὴν θείαν,
f. 304 || Ἀδριανέ,
συναθροίσας σύνοδον,
ἀνενδότοις προσευχαῖς
ἐκτενῶς αἰτήσασθε Χριστὸν
ἱλασμὸν καὶ φωτισμὸν
ἡμῖν δωρήσασθαι.

* Ἀπὸ χειλέων σταζόντων
τὸν γλυκασμὸν
τῆς ἐνθέου γνώσεως
γλυκανθείς, Ἀδριανέ,
τὸν ἰὸν ἐξήμεσας τῆς πρὶν
ἀγνωσίας ἀληθῶς,
θεομακάριστε.

Τῆς εὐσεβείας οἱ πύργοι
καὶ ἀψευδεῖς
ἀληθείας μάρτυρες
Φαραὼ τὸν νοητὸν
ἐρυθροῖς ἐν αἵμασιν αὐτῶν
ἀποπνίξαντες, Χριστέ,
σοὶ προσηνέχθησαν.

Τὸν ἐν σπηλαίῳ τεχθέντα
δημιουργόν,
καθ' ἡμᾶς γενόμενον

---

tit. Εἰς τὸν ὄρθρον ὁ κανὼν τῆς ὀκτωήχου καὶ τῶν ἁγίων et in margine sigla Θεοφάνους Q   Εἰς τὸν ὄρθρον κανὼν τῆς ἑορτῆς εἰς η' καὶ τῶν ἁγίων δ' Pc   heirm. α' ΕΕ 159, n. 224, Joannis   8-14 troparium MR VI, 506   8 Ἀπὸ] Ὑπὸ Pc   12 ἐξέμεσας Q Pc   13 ἀληθοῦς Mf   15-21 troparium deest in Q Pc

---

8-9 cfr. Cant. 5,16

ἐν σπηλαίῳ, μυστικῶς
προσκυνοῦντες, πρόμαχοι στερροὶ
παρατάξεως αὐτοῦ
ἀνηγορεύθητε.

04v θεοτ. * ‖ Τὸν ἑαυτῆς δεξαμένη
δημιουργόν,
ὡς αὐτὸς ἠθέλησεν,
ἐξ ἀσπόρου σου γαστρὸς
ὑπὲρ νοῦν σαρκούμενον, ἁγνή,
τῶν κτισμάτων ἀληθῶς
ἐδείχθης δέσποινα.

ᾠδὴ γʹ. *Οὐκ ἔστιν ἅγιος ὡς σύ,*

Ἀνδρείᾳ, μάρτυρες Χριστοῦ,
καὶ γνώμῃ στερροτάτῃ
τὰς ποικίλας βασάνους
καὶ μελῶν τὰς ἐκκοπὰς
γενναίως ὡς ἀθληταὶ
νικηφόροι
διεκαρτερήσατε.

* Πυρὶ ἀγάπης θεϊκῆς
τὴν ψυχὴν φλεγομένη,
τοῦ συζύγου ἐξῆψας
τὸν ἔρωτα εἰς Χριστόν,
τὸν πόθον τὸν τῆς σαρκός,
Ναταλία,
τέλεον μισήσασα.

Μαρτύρων ἅγιον στρατόν,
σύνταγμα τροπαιοῦχον,
ὁμήγυριν ἁγίαν,
παράταξιν ἱεράν,

29-35 θεοτ. MR VI, 506; AHG X, 74; cfr. etiam in hoc volumine canonem XVI, 22-28   29 σεαυτῆς MR
heirm. γʹ EE 159, n. 224, Joannis   43-49 troparium MR VI, 506

χορείαν μαρτυρικὴν
ἐπαξίως
ὕμνοις εὐφημήσωμεν.

f. 305 ‖ Πλουσίῳ λάμποντες φωτὶ
τῆς θείας λαμπηδόνος,
κατελύσατε πᾶσαν
τῶν δαιμόνων τὴν ἀχλὺν
καὶ ζόφον ἀπατηλὸν
τῆς εἰδώλων
πλάνης, παμμακάριστοι.

θεοτ. * Τοῦ θείου τόκου σου, ἁγνή,
πᾶσαν φύσεως τάξιν
ὑπερβαίνει τὸ θαῦμα·
Θεὸν γὰρ ὑπερφυῶς
συνέλαβες ἐν γαστρὶ
καὶ τεκοῦσα
μένεις ἀειπάρθενος.

ᾠδὴ δʹ. *Χριστός μου δύναμις*

Τιμίῳ αἵματι
ἠγορασμένοι Χριστοῦ
καὶ τὴν ἐλευθερίαν
τὴν παρ' αὐτοῦ,
μάρτυρες, πλουτήσαντες,
τοὺς δουλωθέντας τῇ πλάνῃ
τῶν εἰδώλων ἐτροπώσασθε.

Τὴν κτίσιν ἅπασαν
σφοδρῶς κινήσαντες
κατὰ τῶν ἀθλοφόρων
οἱ δυσμενεῖς,
ἅπαντα ἡττώμενα

57-63 troparium om. Q Pc   64-70 θεοτ. MR VI, 507; cfr. etiam in hoc volumine canonem XVI, 50-56   70 ἀειπάρθενε Mf
heirm. δʹ EE 159, n. 224, Joannis

f. 305v τῆς καρ‖τερίας ἐκείνων
κατεμάνθανον οἱ ἄφρονες.

Οὐ ξίφη τέμνοντα
οὐδὲ θλαττόμενα
τὰ τοῦ σώματος μέλη
οὐδὲ λιμὸς
ἴσχυσε χωρίσαι ὑμᾶς
τῆς εὐσεβοῦς διανοίας,
ἀθλοφόροι παναοίδιμοι.

θεοτ. * Ὡς ὄντως ἄφθεγκτα
καὶ ἀκατάληπτα
τὰ τῆς σῆς, θεοτόκε,
θεοπρεποῦς
πέφυκε κυήσεως
τοῖς ἐπὶ γῆς καὶ οὐρανοῦ,
ἀειπάρθενε, μυστήρια.

ᾠδὴ ε'. *Τῷ θείῳ φέγγει σου, ἀγαθέ,*

Ἐλπίδι θείᾳ βεβαιωθεὶς
τῶν ἐλπιζομένων ἀγαθῶν, Ἀδριανὲ παναοίδιμε,
πάντων τῶν ἐν βίῳ τερπνῶν κατέπτυσας,
τὴν δόξαν δὲ τὴν θείαν μόνην ἠγάπησας.

Φωνῇ μαρτύρων σαγηνευθεὶς
καὶ τῇ προσδοκίᾳ τῶν αἰωνίων θελχθεὶς τὴν διάνοιαν,
f. 306 πλοῦτον, γένος, ‖ κάλλος καὶ βίον ἅπαντα
κατέλιπες, ἐμφρόνως σπεύδων πρὸς ἄθλησιν.

Ἀμείνων γέγονας βοηθὸς
Εὔας τῆς προμήτορος, Ναταλία, Χριστὸν προτιμήσασα
τῆς χαμαὶ κειμένης ἐν γῇ λαμπρότητος
καὶ μάρτυσιν εὐτόνως πίστει δουλεύσασα.

---

91 παναοίδιμοι] γενναιότατοι Q Pc 92-98 θεοτ. MR VI, 508; AHG X, 55; cfr. etiam in hoc volumine canonem XVI, 85-91
heirm. ε' EE 159, n. 224, Joannis 92 ἄφθεκτα Mf 101 ἐν βίῳ] τοῦ βίου Q Pc 102 μόνον Q ὄντως Pc 110 καὶ] τοῖς Q Pc

θεοτ. * Τοὺς θεοτόκον σε ἐκ ψυχῆς,
δέσποινα τοῦ κόσμου ἀγαθή, ὁμολογοῦντας διάσωσον·
σὲ γὰρ προστασίαν ἀκαταμάχητον
κεκτήμεθα, τὴν ὄντως θεογεννήτριαν.

ᾠδὴ ϛ'. *Τοῦ βίου τὴν θάλασσαν*

Τῇ θείᾳ ῥωννύμενοι
τοῦ παθόντος δι' ἡμᾶς
καὶ τοῦ θανάτου λύσαντος
τὰς ὠδῖνας δυνάμει θεοπρεπεῖ,
πανεύφημοι μάρτυρες,
τὰς βασάνους ἀνδρείως ὑπεμείνατε.

Φρουρᾷ κατεχόμενοι,
f. 306v παραδείσου ‖ τὴν τρυφὴν
καὶ τὴν τερπνὴν εὐπρέπειαν
εὐσεβεῖ φανταζόμενοι λογισμῷ,
τὸν ζόφον ἐστέρξατε
καὶ τὴν στενοχωρίαν, ἀξιάγαστοι.

Τὸ χαῦνον τοῦ θήλεος,
τῇ δυνάμει τοῦ σταυροῦ
ἀρρενωπὸν γενόμενον,
θεοφρόνως ἀνδρίζεται καὶ θερμῶς
καὶ συναγωνίζεται
τοῖς Χριστοῦ στρατιώταις ἀνδρικώτατα.

θεοτ. * Ἡ πάναγνος δέσποινα,
ἡ τεκοῦσα τοῖς βροτοῖς

111-114 θεοτ. MR VI, 508; AHG X, 56; cfr. etiam in hoc volumine canonem XVI, 116-121 112 ὁμολογοῦντας] ὑμνολογοῦντας MR
heirm. ϛ' EE 159, n. 224, Joannis 115 ῥωννύμενος Mf 118 ὀδύνας Mf Q 125 ἐστέξατε Mf 129 ἀρρενωθὲν καὶ χάριτι Pc 130 θερμῶς] στερρῶς Pc v. 131 συναγωνιζόμενον Pc 133-138 θεοτ. MR VI, 508; AHG X, 58; cfr. etiam in hoc volumine canonem XVI, 143-149

---

116 cfr. I Petr. ep. 2,21; 4,1 117-118 Act. 2,24

τὸν κυβερνήτην κύριον,
τῶν παθῶν μου τὸν ἄστατον καὶ δεινὸν
κατεύνασον τάραχον
καὶ γαλήνην παράσχου τῇ καρδίᾳ μου.

Κάθισμα.

Ἦχος δ'. *Κατεπλάγη Ἰωσὴφ*

Δυσσεβείας τὴν πυρὰν
τῆς εὐσεβείας δροσισμῷ
κατασβέσας, ἀθλητά,
τῇ συντριβῇ σου τῶν μελῶν
τὴν τῶν εἰδώλων ἰσχὺν ἀπελέπτυνας,
f. 307 || τὴν σύζυγον εὑρὼν
προσεπαλείφουσαν
πρὸς πᾶσαν τῶν δεινῶν,
μάρτυς, παράταξιν,
μεθ' ἧς τὰ ἄνω ᾤκησας βασίλεια,
Ἀδριανὲ καρτερόψυχε,
Χριστῷ πρεσβεύων
δοθῆναι πᾶσι
τοῖς τιμῶσί σε ἔλεος.

ᾠδὴ ζ'. *Δροσοβόλον μὲν τὴν κάμινον εἰργάσατο*

Ὁ τὴν κάμινον δροσίσας καιομένην πρὶν
ἄγγελος τοῖς ὁσίοις παισὶ
τοῖς γενναίοις νῦν
καὶ ἁγίοις μάρτυσι Χριστοῦ
τοῖς ὄμβροις κατέσβεσε τὸ πῦρ,

καθ. post oden γ' proferunt Q Pc, qui autem post oden ς' tradunt κοντάκ. Γυναικὸς θεόφρονος et οἰκ. Καιρὸς ἐπέστη τοῖς πιστοῖς MR VI, 509
heirm. καθ. MR I, 233 10 οἰκήσας Pc
heirm. ζ' EE 159, n. 224, Joannis

139-140 Dan. 3,49

ὑμνολογοῦσι τὸν Θεὸν
τὸν τῶν πατέρων ἡμῶν.

Ὡς εὐῶδες μὲν θυμίαμα ἐδόθητε
πυρί, μακαριώτατοι,
ὡς θυσία δὲ
καθαρὰ καὶ ἄμωμος Θεῷ
προσήχθητε, κράζοντες αὐτῷ·
« εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

Καὶ σκιρτῶντες καὶ χορεύοντες, πανένδοξοι
μάρτυρες, ἐν ἁγίων σκηναῖς,
τὰς τῶν καμάτων
f. 307ᵛ ἀ||μοιβὰς κομίζεσθε λαμπρῶς,
κυρίῳ κραυγάζοντες στερρῶς·
« εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

(τριαδ.) * Τὴν βασιλίδα καὶ πάντων κυριεύουσαν,
φύσιν τὴν τρισυπόστατον,
ἀγαθότητος
καὶ ἀΰλου πέλαγος φωτὸς
ὑμνοῦντες, βοῶμεν εὐσεβῶς·
« εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

ᾠδὴ η'. *Ἐκ φλογὸς τοῖς ὁσίοις δρόσον ἐπήγασας*

Τῶν βασάνων τὰ εἴδη ὡς ἐπληθύνθησαν,
τῶν στεφάνων τὰ κάλλη ὄντως ἐπλάκησαν,

---

146 μὲν om. Pc 150 κραυγάζοντες Mf 151-152,165-166 vv. varie detruncantur in Mf Q Pc 158-159 vv. varie intermittunt Mf Q 160-166 τριαδ., quod ut θεοτ. tradunt cdd., Pent σιθ'; AHG X, 59; cfr. etiam in hoc volumine canonem XVI, 178-184 163 ἀΰλου] ἀπείρου Pent 164 βοῶμεν εὐσεβῶς] βοήσωμεν πιστοὶ (πιστῶς AHG) Q Pc Pent AHG
heirm. η' EE 159, n. 224, Joannis

167-168 AA.SS. Sept. III (1868) 225 § 21: Ἔφη αὐτῷ ὁ ἅγιος· « ὅσον πληθύνεις εἰς ἐμὲ τὰ εἴδη τῶν βασάνων, τύραννε, τοσοῦτον αὔξεις μοι τοὺς μισθοὺς τῶν ἀγώνων ».

μάρτυρες, ὑμῖν
πίστει κραυγάζουσι·
« σὲ ὑπερυψοῦμεν,
Χριστέ, εἰς τοὺς αἰῶνας ».

Ἐν τῇ βίβλῳ τῶν ζώντων ὄντως ἐγράφητε
ζωῆς τῆς ἀιδίου ὑπεραθλήσαντες,
μάρτυρες Χριστοῦ,
καὶ νῦν πόθῳ κραυγάζετε·
« σὲ ὑπερυψοῦμεν,
Χριστέ, εἰς τοὺς αἰῶνας ».

θεοτ. Ἐκ φωτὸς φωτοδότην Λόγον συνέλαβες
τὸν φωτίσαντα κόσμον αὐγαῖς θεότητος,
πλάνης δὲ ἀχλὺν
παντελῶς ἐκμειώσαντα,
πύλη φωτοφόρε,
ἁγνή, εὐλογημένη.

f. 308 ‖ ᾠδὴ θ'. *Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον*

Σταυρὸν ἐπ' ὤμων τῶν σῶν ἀράμενος,
Ἀδριανέ,

170 κραυγάζομεν Pc 172.178 vv. varie intermittunt Mf Q post v. 178 troparium Q Pc proferunt Οἱ κρουνοὶ τῶν αἱμάτων τῶν ἀθλοφόρων σου MR VI, 510 179-184 hoc diversum θεοτ. in Q Pc legimus (cfr. MR VI, 510 et in hoc volumine canonem XVI, 225-232):
Ἐκ φωτὸς φωτοδότην Λόγον συνέλαβες
καὶ τεκοῦσα ἀφράστως τὸν ὑπερούσιον
σάρκα δι' ἡμᾶς
γεγονότα, πανάμωμε,
ὃν ὑπερυψοῦμεν
εἰς ‹πάντας τοὺς αἰῶνας.›
heirm. θ' EE 159, n. 224, Joannis

185-187 AA.SS. o.c., 224 § 19: Οἱ δὲ τοῦτον ἀποδύσαντες, εἰσήγαγον αἴροντα τὸ ξύλον ἐπὶ τῶν ὤμων. Πορευομένου δὲ αὐτοῦ, λέγουσιν αὐτῷ οἱ ἅγιοι· « ἰδού, Ἀδριανέ, κατηξιώθης ἆραι τὸν σταυρόν σου καὶ ἀκολουθῆσαι τῷ δεσπότῃ ... ».

173 Philip. 4,3 183 Ez. 44,1-2 185 cfr. Matth. 16,24; Marc. 8,34; Luc. 9,23

κατ' ἴχνος τοῦ δεσπότου ἐβάδισας,
ἐγκαλλωπιζόμενος τῷ τούτου σεπτῷ
πάθει καὶ σωτηρίῳ,
ᾧ παριστάμενος
σὺν ὁμοταγέσιν ἀθληταῖς, ἡμῶν μνημόνευε.

* Χοροῖς μαρτύρων Χριστοῦ, πανεύφημε,
παρεστηκὼς
τῷ θρόνῳ τοῦ τῶν ὅλων δεσπόζοντος,
τοὺς τελοῦντας σὴν μνήμην περίσωζε
πίστει καὶ προθυμίᾳ,
πάντων λυτρούμενος
τῶν παρενοχλούντων πειρασμῶν ταῖς ἱκεσίαις σου.

Στολὰς ἀφθάρτους περιβαλλόμενοι
καὶ φωτεινοὺς
χιτῶνας εὐφροσύνης φορέσαντες
καὶ φαιδρᾷ καταστολῇ κοσμούμενοι
δόξης τῆς ἀιδίου,
μάρτυρες ἔνδοξοι,
τῶν ἐπηγγελμένων ἀγαθῶν κατηξιώθητε.

θεοτ. * Νεκροῖς ἀνάστασις νῦν δεδώρηται
διὰ τῆς σῆς
f. 308v ἀφράστου ‖ καὶ ἀρρήτου κυήσεως,
θεοτόκε πάνσεπτε· ζωὴ γὰρ ἐκ σοῦ
σάρκα περικειμένη
πᾶσιν ἐξέλαμψε
καὶ τὸ τοῦ θανάτου ἀμειδές, ἁγνή, διέλυσεν.

192-198 troparium MR VI, 511 195 σὴν μνήμην] τὴν μνήμην σου Mf 206-212 θεοτ. MR VI, 511; AHG X, 85; cfr. etiam in hoc volumine canonem XVI, 265-272 209 πάνσεμνε MR 212 ἁγνὴ] σαφῶς MR AHG

187 cfr. I Petr. ep. 2,21

26 AUG. *CANON* XXVIII

IN SS. ADRIANUM, NATALIAM ET SOCIOS MARTURES

Mess. gr. 140 = O, ff. 154-155ᵛ
Paris. gr. 245 = Px, pp. 380ᵛ-383

Ὁ κανὼν <φέρων ἀκροστιχίδα τήνδε·
Ἄδω γεγηθὼς τὸ κλέος τῶν συζύγων.>

Ἦχος δʹ.

ᾠδὴ αʹ. *Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος*
ἀβρόχοις ἴχνεσιν

Ἀΰλου καὶ καθαρᾶς λαμπρότητος
νῦν ἐμπιπλάμενος
καὶ σὺν χοροῖς ἀγγέλων παρεστὼς
τῷ δεσπότῃ, πανόλβιε,
τὸν ψυχικόν μου τάραχον
παῦσον συντόνοις ταῖς δεήσεσιν.

Δουλώσας τὰ ἐπὶ γῆς σκιρτήματα,
μάρτυς, τῷ πνεύματι
καὶ τῆς σαρκὸς προσπάθειαν φυγών,
πρὸς ἀγῶνας ἐχώρησας
τοῦ μαρτυρίου, ἔνδοξε,
πτερνίσας πόνοις τὸν ἀλάστορα.

---

tit. tantum ὁ κανὼν cdd., qui acrostichidem in rubrica silent; canonem usque ad oden ϛʹ tradit Px (cfr. Commentarium)

heirm. αʹ EE 94, n. 133, Joannis 3 σὺν] νῦν Px 6 συντόνοις ταῖς] σὺν τούτοις σοῦ O 7-12 troparium deest in Px

Ὡς ξένα τῆς ἀληθῶς συζύγου σου,
μάρτυς, ἀλείμματα
πρὸς πειρασμοὺς καὶ πόνους φοβεροὺς
καὶ πρὸς σκάμματα ὤφθησαν!
καὶ γὰρ συνεῖναι ἤλπιζε
σοὶ δι' αἰῶνος ἡ ἀοίδιμος.

θεοτ. Σοφίαν τὴν τοῦ πατρὸς καὶ δύναμιν
καὶ Λόγον ἄρρευστον
ἡ ἐπὶ γῆς κυήσασα, σεμνή,
ὡς βροτὸν τὸν ὑπέρθεον
τοὺς σὲ ὑμνοῦντας λύτρωσαι
πόνων καὶ βλάβης καὶ κολάσεων.

ᾠδὴ γʹ. *Εὐφραίνεται ἐπὶ σοὶ*

Γηθόμενος, ἀθλητά,
ἐν τῷ σταδίῳ ἀνδρικῶς ἵστασο,
πρὸς συμπλοκὴν ἅπαντας
σὺ τοὺς δυσμενεῖς προτρεπόμενος.

f. 154ᵛ ‖ Ἐπηΰξησας τὸν χορὸν
τῶν ἡγουμένων ἀθλητῶν, ἔνδοξε,
καὶ σὺν αὐτοῖς ἄγεσθαι
πρὸς ποινὰς ἠξίους τοὺς ἕλκοντας.

Γενναίως τὸν ἑαυτῆς
πρὸς τοὺς ἀγῶνας ἐραστὴν ἤλειφεν

---

13 ἀληθοῦς Px 14 ἀλείμματα] ἀθλήματα Px 16 πρὸςκάμματα O 18 σὺ O ἡ] ὁ O 20 ἄρρευστον] ἄριστον Px 24 ἐκ πόνων βλάβης καὶ κακώσεως Px

heirm. γʹ EE 94, n. 133, Joannis 28 προτρεπόμενος] τροπωσάμενος Px 30 ἀθλητὰ Px 32 ἠξίου cdd.

13-18 AA.SS. Sept. III (1868) 227 § 27: Καὶ μετὰ ταῦτα ἐκαθέζετο παρὰ τοὺς πόδας τοῦ ἁγίου Ἀδριανοῦ παρακαλοῦσα καὶ λέγουσα αὐτῷ· « δέομαί σου, κύριε, μνήσθητι τῆς συζύγου σου, ὅτι συνήργησά σοι ἐν τῷ μαρτυρίῳ καὶ ἤλειψά σε πρὸς τοὺς ἀγῶνας καὶ πρόξενός σοι ἐγενόμην τοῦ στεφάνου τούτου. Παρακάλεσον οὖν τὸν δεσπότην Χριστόν, ἵνα παραλάβῃ με μετὰ σοῦ, ἵνα, ὥσπερ κοινωνοὶ ἐγενόμεθα ἐν τῷ μοχθηρῷ καὶ φιλαμαρτήμονι τούτῳ βίῳ, οὕτως καὶ τῆς μακαρίας ἐκείνης καὶ ἀπόνου λήξεως κοινωνήσωμεν ἅμα ...».

ἡ εὐσεβὴς σύζυγος,
ὅλῳ πτερωθεῖσα τῷ πνεύματι.

Θεοτ. Ἐθέωσε τὴν ἐμὴν
ὁ πλαστουργός σου καὶ υἱός, πάναγνε,
φύσιν ἐν σοί, τέλειος
ἄνθρωπος ἀτρέπτως γενόμενος.

ᾠδὴ δ'. *Ἐπαρθέντα σε ἰδοῦσα ἡ ἐκκλησία*
ἐπὶ σταυροῦ τὸν ἥλιον

Ἡ ἐπέραστος συνάφεια τῶν μαρτύρων
ἐν ταῖς τρισὶν ηὐγάζετο
θείαις ἀγλαΐαις,
πίστει καὶ ἐλπίδι Θεοῦ
ἀγάπῃ τε φαίνουσα·
ὅθεν ἀδιαίρετος ἔμεινεν.

Θανατώσεως αἰτία τὸ πρὶν κατέστη
ἡ συμβουλὴ τοῦ ὄφεως,
Εὔας ὑπουργούσης,
ἔνθεν ἠπατήθη Ἀδάμ·
οὐχ οὕτως εὑρέθη δὲ
Ναταλία ὄντως ἡ πάνσεμνος.

---

post oden γ' hoc καθ. Px refert:

Κάθισμα.

<Ἦχος δ.'> *Ταχὺ προκατάλαβε*

Ἀνδρείαν ἐνεδείξατο (ἐνεδείξαντο cd.)
ἐπὶ τοῦ σκάμματος
καὶ ἔτρωσε τὸν δόλιον
Ἀδριανὸς (ἀνδριανὸς cd.) κραταιὸς
τῷ ὅπλῳ τοῦ σταυροῦ σου, Χριστέ·
ἔσχατος ὢν μαρτύρων,
εἰσελθὼν ἐν τῇ πάλῃ,
πρῶτος πάντων ὡράθη
ἐναντίον (ἐναντίων cd.) σου, Λόγε,
καὶ εἴληφε τῶν καμάτων
δόξαν ἀμάραντον.

heirm. δ' EE 94, n. 133, Joannis   41-46 troparium om. O   46 ἀδιαίρητος cd.   50 ἔνθα Px   52 πάνσεπτος Px

---

47-50 cfr. Gen. 3,1 ss.

Ὡραιώθησαν οἱ πόδες σου βεβαμμένοι,
Ἀδριανέ, τοῖς αἵμασι
τοῖς τοῦ μαρτυρίου,
τρίβον οὐρανίου ζωῆς
ἐνθέως ὁδεύοντες,
ἔνθα πρωτοτόκων ὁμήγυρις.

Συμπονοῦντάς σοι ἡ χάρις ἐν τοῖς ἀγῶσιν,
Ἀδριανέ, τοὺς μάρτυρας
ἐνθέως παρέσχεν,
ὅλως λιπαροῦντας Θεὸν
τοῦ στῆσαί σε τρόπαιον
ξένον καὶ βαλεῖν τὸν ἀλάστορα.

Θεοτ. Ἀνεκαίνισας φθαρεῖσάν μου τὴν οὐσίαν,
Λόγε Θεοῦ, γενόμενος
δι' οἰκονομίαν
ἄνευ ἁμαρτίας βροτός·
διὸ τὴν ἀφράστως σε
λόγῳ συλλαβοῦσαν γεραίρω ἀεί.

ᾠδὴ ε'. *Σύ, κύριέ μου, φῶς*
εἰς τὸν κόσμον ἐλήλυθας

Τίς εὗρε τῶν βροτῶν
πρὸς ἀγῶνας ἀλείφουσαν
τὴν σύνοικον, ὥσπερ εὗρες
σὲ κινοῦσαν πρὸς πόνους
Ναταλίαν τὴν σύζυγον;

53-58 troparium om. Px   59 Συμπονοῦντασοι cdd.   60 ἀνδριανὲ Px   62 θεῶ Px   66 λόγος O   Θεοῦ] τοῦ θεοῦ Px   70 συλλαβοῦσα O
heirm. ε' EE 94, n. 133, Joannis

59-64 AA.SS. o.c., 226-227 § 25: Ἀσπαζόμενοι δὲ αὐτὸν οἱ ἅγιοι, ἔλεγον αὐτῷ· « χαίροις ἐν κυρίῳ, ἀδελφέ· ἐγράφη γάρ σου τὸ ὄνομα μετὰ τῶν τελειωθέντων ἁγίων μαρτύρων... Θάρσει, ἀδελφὲ Ἀδριανέ· οὐκέτι ἰσχύει κατὰ σοῦ ὁ πονηρός· ἀπέδρα γὰρ δεδιὼς τὴν ὑπομονήν σου ... Μὴ οὖν διακριθῇς ἢ διστάσῃς ὅλως ».

71-75 AA.SS. o.c., 224 § 19: Ἡ δὲ μακαρία Ναταλία πλησιάσασα αὐτῷ λέγει· « κύριέ μου, πρὸς τὸν Θεὸν μόνον ἔχε σου τὸν σκοπόν· μή σου πτοήσῃ τὴν καρδίαν τὰ εἴδη τῶν βασάνων· ὀλίγος καὶ πρόσκαιρος ὁ κάματος, πολὺς καὶ αἰώνιος ὁ μισθός·... ».

Ὁ πόθος σου, σοφέ,
πρὸς τὸν δρόμον ηὐξάνετο,
τὰ μέλη δὲ ταῖς βασάνοις
δαπανώμενα ξένην
μορφήν σοι ἀντηλλάττοντο.

Κατέαξαν σφοδρῶς
τὰ σὰ σκέλη οἱ ἄνομοι,
ἐνεύρωσαν τῆς ψυχῆς δὲ
τὴν ἀδίστακτον γνώμην
οἱ πόνοι τῆς ἀθλήσεως.

θεοτ. Σὺ τρίβος πρὸς Θεὸν
καὶ σὺ πύλη καὶ γέφυρα,
σὺ ἔρεισμα, σὺ καὶ δόξα
τῶν σῶν δούλων, παρθένε,
τῶν πίστει εὐφημούντων σε.

ᾠδὴ ς'. *Θύσω σοι*
μετὰ φωνῆς αἰνέσεως, κύριε,

Λόγοις σου
ἀπεσβέσθη ῥητόρων τὸ φλήναφον,
f. 155 τῇ δὲ ἐνστάσει ‖ σου, μάρτυς,
τῶν τυράννων θράσος εἰς χοῦν καθεῖλες
καὶ τῶν ἄθλων
ἀφθαρσίας ἐπλάκη σοι στέφανος.

Ἔπαυσαν
τῶν εἰδώλων αἱ κνῖσαι καὶ αἵματα
καὶ παρανόμων θυσίαι,
σοῦ τυθέντος, μάρτυς, τῇ ἐκμιμήσει

76 πόθωσου Px 83 τὴν ψυχὴν Px
heirm. ς' ΕΕ 94, n. 133, Joannis 94 χοῦν καθεῖλες] γῆν κατῆλθε Px
97-102 tropario caret Px

81-82 AA.SS. o.c., 227 § 28: ... ὁ τύραννος ... ἐπεκέλευσεν ἄκμονα χαλκοῦν ὑποτεθῆναι τοῖς ποσὶν αὐτῶν καὶ μοχλῷ σιδηρῷ κατεαγῆναι αὐτῶν τὰ σκέλη ...

87 Ez. 44,1-2 Is. 37,25

τοῦ τὸν κόσμον
φιλανθρωπίας αἵματι σώσαντος.

« Ὅλον σοι
ἐμαυτὸν ἀνατίθημι » ἔκραζες
« καὶ τῶν ἐμῶν ὁλοψύχως
σὲ ταμίαν, Λόγε, ἀνεγραψάμην·
σὺ τὸ αἷμα
ὡς θυμίαμα δέχου τοῦ λάτρου σου ».

θεοτ. Ζάλη με
ἁμαρτίας βυθίζει τὸν δείλαιον,
ἀλλ' ἡ τεκοῦσα τὸν κτίστην
καὶ σωτῆρα πάντων καὶ κυβερνήτην
τῶν παθῶν μου
τὸν ἀστατοῦντα κοίμησον τάραχον.

ᾠδὴ ζ'. *Ἐν τῇ καμίνῳ*
Ἀβραμιαῖοι παῖδες τῇ περσικῇ

Συγκατεδέθης
ὁ προσπαθείας πάσης ἀπολυθεὶς
φίλτρῳ
μαρτυρίου πᾶσι τοῖς ἀθληταῖς
καὶ τερπόμενος ἐκραύγαζες·
« εὐλογημένος εἶ
ἐν τῷ ναῷ τῆς δόξης σου, κύριε ».

⟨Τ — — — ⏑́ —
— — — ⏑́ — ⏑́ — — — — ⏑́
⏑́ —
— — ⏑́ — ⏑́ — — — — ⏑́
— — ⏑́ — — — ⏑́ — —
— — — ⏑́ — —
— — — ⏑́ — ⏑́ — — ⏑́ — —.⟩

104 ἑαυτὸν Px 107 σὺ] οὗ Px 114 abhinc, intermisso canone in Px, tantum utemur cd. O
heirm. ζ' ΕΕ 94, n. 133, Joannis 121 v. abrumpitur 122-128 troparium, T incipiens, deest

Ὦ τῆς καλῆς σου
καὶ παραδόξου, μάρτυς Ἀδριανέ,
τόλμης!
πῶς ἐν μέσῳ δήμου ἀσεβουργῶν
τὸν Χριστὸν καθωμολόγησας
« εὐλογημένος εἶ, »
ἀναβοῶν « ὁ κτίστης καὶ κύριος; »

Νικητικὰ σὺ
τὰ τῶν χαρίτων στέφη τῇ κορυφῇ,
μάρτυς,
δεδεγμένος, ὤφθης βασιλικῶς
ἀφανίζων τὴν ἀσέβειαν·
τοῦ βασιλέως γὰρ
ἐν τῇ σαρκὶ τὰ στίγματα ἔφερες.

θεοτ. Τὴν νεκρωθεῖσαν
ταῖς τρικυμίαις ὄντως τῶν ἡδονῶν,
Λόγε,
ἀναστήσας, σῶσον ὡς κραταιὸς
τῇ πρεσβείᾳ τῆς τεκούσης σε
ψυχήν μου πταίσμασιν,
ὅτι θέλεις ἀνθρώπους τοῦ σώζεσθαι.

ᾠδὴ η'. *Χεῖρας ἐκπετάσας Δανιὴλ*

Σῶμα δαπανήσας τὸ θνητὸν
ἀθλήσει, ἔνδοξε,
τοῦ μαρτυρίου σου,
ψυχὴν ἐξέθρεψας ἄριστα,
μυστικῶς θείοις ἐδέσμασι
καὶ λιπανθεῖσα γνωστικῶς
χαίρουσα ἔψαλλεν·

heirm. η' EE 94, n. 133, Joannis

129-135 AA.SS. o.c., 220 § 7: Ταῦτα ἀκούσας Ἀδριανός, εὐθέως εἰσεπήδησε καὶ ἔστη εἰς τὸ μέσον καὶ λέγει τοῖς ταχυγράφοις· «. . . χριστιανός. . . εἰμὶ κἀγώ. . . ».

141-142 cfr. Gal. 6,17

« εὐλογεῖτε
πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

Ὑλώδους δοκίμιον ζωῆς
τὸ πῦρ ἡτοίμασται
ἀνθρώποις ἅπασι·
διὸ πρὸς κάμινον ἔσπευσας
αἰσθητήν, ἀνταλλαξάμενος
τῆς αἰωνίου τὴν φθαρτήν,
μάρτυς, καὶ ἔκραζες·
« εὐλογεῖτε
πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

f. 155v ‖ Ζωῇ ἐπικήρῳ καὶ φθαρτῇ
οὐδόλως, ἔνδοξοι,
θελχθέντες, ὤφθητε
ἀύλου βίου δι' ἔρωτα
πρὸς μονὰς μετοικησάμενοι
ἀγγελικάς· Ἀδριανὲ
σὺν Ναταλίᾳ, βοᾷς·
« εὐλογεῖτε
πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

θεοτ. Ὁ κτίστης μορφοῦται δι' ἐμὲ
βροτείαν μόρφωσιν,
ὁ πρὶν ἀσώματος,
ἐκ σοῦ, πανάμωμε δέσποινα,
καὶ θεοῖ με τὸν κατάκριτον
καὶ παραδείσου τὴν τρυφὴν
νέμει τοῖς κράζουσι·
« εὐλογεῖτε
πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

ᾠδὴ θ'. *Λίθος ἀχειρότμητος ὄρους*

⟨Ὕ — — — —́ — — —́ —
— — — —́ — — — —́ —
— — — — —́ — — — —́

158.167.176.185 vv. detruncantur 160 ἡτοίμασθαι 163 ἀντιλλαξάμενος 171 διέρωτι 180 ἐκ σοῦ] ἐξ οὗ cd. 183 νέμοι
heirm. θ' EE 94, n. 133, Joannis 186-191 troparium, Υ incipiens, om.

— ⁄ — ⁄ — — — ⁄ — —
— — — ⁄ — ⁄ — —
— — — ⁄ — — — ⁄ — — .>

Γνόφον ὑπερβὰς τὸν τοῦ κόσμου,
Ἀδριανέ, καὶ καταπαύσας
καὶ φωτοχυσίας ἐμπλησθεὶς
ἀπείρου, μάρτυς ἀξιοθαύμαστε,
τοῖς σὲ ὑμνοῦσι πρόστηθι
καὶ τῷ ναῷ σου προσεδρεύουσιν.

Ὥραν καὶ προσπάθειαν βίου
ἡ Ναταλία ἐκφυγοῦσα
καὶ καθηλωθεῖσα μυστικῶς
συζύγου τάφῳ, καταδεδούλωται,
ἧς ταῖς πρεσβείαις, κύριε,
ῥῦσαι τὴν ποίμνην σου κακώσεων.

Νέμοιτε βοήθειαν πᾶσιν,
θεοτ. Ἀδριανὲ καὶ Ναταλία,
τοῖς ἐπιτελοῦσιν ἐκ ψυχῆς
ὑμῶν τὴν μνήμην, ἀξιοθαύμαστοι·
καὶ γὰρ Θεῷ παρίστασθε
καὶ παρρησίας ἠξιώθητε.

Χαίροις, τὸ ἀλάξευτον ὄρος,
ἐξ οὗ προῆλθεν ὁ συντρίψας
στήλας τῶν εἰδώλων καὶ βωμοὺς
ἰσχύι λίθος ὁ τῆς θεότητος,
χαίροις, μαρτύρων καύχημα
καὶ τῶν θηλέων ἐγκαλλώπισμα.

---

197 προσέδρεύοντας 204 Νέμειτε

198-203 AA.SS. o.c., 230 § 37-38: Ἡ δὲ ... Ναταλία ... προσεκύνει τὰ τίμια καὶ καρτερικὰ αὐτῶν λείψανα· καὶ λαβοῦσα τὴν χεῖρα ἔθηκεν αὐτὴν ἐγγὺς τοῦ σώματος τοῦ ἁγίου Ἀδριανοῦ καὶ κλίνασα τὸ γόνυ προσεύχετο ἐπὶ ὥραν πολλήν. ... Καὶ ἰδοὺ φαίνεται αὐτῇ ὁ ἅγιος Ἀδριανὸς καθ' ὕπνον λέγων· « εἰρήνη σοι, δούλη τοῦ Θεοῦ καὶ θύγατερ τῶν μαρτύρων· δεῦρο οὖν ἀπολάμβανε τὸ ὀφειλόμενόν σοι χρέος ». Καὶ εὐθέως παρέδωκε τὸ πνεῦμα αὐτῆς τῷ κυρίῳ.

210-213 Dan. 2,34.44

IN DECOLLATIONEM SANCTI JOANNIS BAPTISTAE

Synaxarium, 931-934: Μνήμη τοῦ ἁγίου προφήτου Προδρόμου κο
Βαπτιστοῦ Ἰωάννου. Ὃς ἐν γεννητοῖς γυναικῶν ὑπὲρ ἅπαντα
μαρτυρεῖται εἶναι ὑπὸ τοῦ Χριστοῦ καὶ προφήτου περισσότερος, ὁ προσκιρτή
σας ἀπὸ γαστρὸς καὶ τοῖς ἐν γῇ καὶ ἐν τῷ Ἅδῃ κηρύξας. Οὗτος ἦν υἱὸ
Ζαχαρίου τοῦ ἀρχιερέως καὶ Ἐλισάβετ, ἐξ ἐπαγγελίας Γαβριὴλ τεχθεὶς
ἐτμήθη δὲ τὴν κεφαλὴν ὑπὸ Ἡρῴδου διὰ τὴν παράνομον μῖξιν τῆς Ἡρω
διάδος. Οὗτος ἐξ αὐτῆς νηδύος ἁγιωσύνην περικείμενος, σωφροσύνην ἀσπα
σάμενος, ἁγνείαν εἰσοικισάμενος, ἀτροφίαν ἀσκήσας καὶ πάσης ἀνθρώπω
ἐπιμιξίας ἀπερρωγὼς καὶ τὴν ἔρημον ὡς πόλιν οἰκήσας, θηρίοις συνδιαι
τώμενος, καμήλου θριξὶ σκεπόμενος, δερματίνῃ ζώνῃ περισφιγγόμενο
καὶ ἴσα πτηνοῖς τὸ τῆς τροφῆς κεκτημένος αὐτόματον, ὅλος ἄτροφος, ὅλο
ἄσκευος, ὅλος ἄσαρκος, ὅλος ἄυλος καθορώμενος, μελέτην διηνεκῆ τὸν το
Θεοῦ νόμον ποιούμενος, ἡγεῖτο μὲν τῆς αὐτοῦ φυλακῆς καὶ τηρήσεω
πάντα δεύτερα καὶ ὑποδεῆ, μόνον δὲ τὸ ἐν δικαιώμασιν αὐτοῦ ἐμμένειν δι
πολλῆς ἐτίθετο σπουδῆς, ὁ τοὺς ὅρους ὑπερβὰς τῆς φύσεως καὶ τὸν καθαρὸ
καὶ ἀμόλυντον καὶ πάσης ἐπέκεινα καθάρσεως βαπτίσας Χριστόν. Τοίνυ
ὁ πολὺς ἐν ἀκολασίᾳ Ἡρῴδης, τοῦ ἰουδαϊκοῦ τετραρχῶν ἐδάφους, τὴν το
ἀδελφοῦ Φιλίππου γυναῖκα πρὸς γάμον ἠγάγετο. Καὶ ἦν τὸ μῦσος νόμο
μὲν καθαίρεσις, Θεοῦ δὲ καταφρόνησις. Θείῳ ζήλῳ κινηθεὶς ὁ προφήτη
καὶ ἀληθείας ὅπλοις φραξάμενος, ἔλεγε πρὸς τὸν τύραννον μετὰ παρρησίας
« οὐκ ἔξεστίν σοι ἔχειν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ σου ». Ἐντεῦθε
φυλακὴ καὶ δεσμὰ περὶ τὸν ἅγιον, τοῦ μανικοῦ γυναίου πρὸς τοῦτο τὸ
ἄνομον ἐραστὴν συνελάσαντος· ὅθεν, γενεθλίων τελουμένων καὶ πότο
δαψιλοῦς καὶ φιληδόνου πρὸς παραφροσύνην ἐκκυλήσαντος τὸν ἑστιάτορα
ὄρχησις ἑταιρικοῦ θυγατρίου καὶ μισθὸς αὐτῇ προφήτου ἀναίρεσις. Παραυτι
οὖν ἤχθη ἐπὶ πίνακος ἡ τοῦ δικαίου κεφαλὴ καὶ ἐπεδόθη μαχλώσῃ κα
μοιχαλίδι γυναικί, ἔτι τὸ αἷμα στάζουσα καὶ τὰ αὐτὰ φθεγγομένη. . .

Sinait. gr. 632	= Στ, ff. 166v-172
Crypt. Δ.α. XII	= Cp, ff. 146v-151
Sinait. gr. 639	= Σζ, ff. 443-448v
Sinait. gr. 631	= Σρ, ff. 118-120v
Paris. Coislin. gr. 218	= Πa, ff. 175v-179
Paris. gr. 1568	= Pc, ff. 207-217v

Canon secundum traditionem Sinait. gr. 632 = Στ, ff. 166v-172

Ὁ κανών· Ἀνδρέου.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Τῷ ἐκτινάξαντι ἐν θαλάσσῃ*

Τὸ τῆς ἐρήμου κάλλιστον θρέμμα
καὶ Ζαχαρίου ὁ καρπὸς
καὶ τῆς Ἐλισάβετ παρ' ἐλπίδα τὸ βλάστημα
προτρέπεται τοὺς πιστοὺς
πανηγυρίσαι τὴν σεπτὴν αὐτοῦ μνήμην.

Τὴν τοῦ Ἡρώδου μιαιφονίαν
τίς μὴ θρηνήσῃ ἐννοῶν
ὅτι δι' αἰσχρὰν φιληδονίαν ἀπέτεμε
τὸν κήρυκα τῆς ζωῆς
καὶ τῆς τριάδος μυστικὸν ὑποφήτην;

Ὢ γενεσίου πλήρους αἱμάτων,
ὢ συμποσίου μισητοῦ!
φόνῳ γὰρ τὴν μέθην ὁ Ἡρώδης ἐκέρασεν,
ἡ τράπεζα δὲ αὐτῷ
μιαιφονίας πικρᾶς ἀντικατέστη.

Τὴν πολυθαύμαστον κορυφήν σου,
τὴν προκηρύξασαν ἡμῖν

---

tit. Ἕτερος κανὼν εἰς τὴν ἀποτομὴν τοῦ ἁγίου ἰωάννου τοῦ βαπτιστοῦ et in margine sigla Ἀνδρέου Στ tantum Ὁ κανών Cp, qui nomen auctoris tacet Ἕτερος κανὼν ποίημα ἀνδρέου κρήτης Σζ Κανὼν ἕτερος εἰς τὴν ἀποτομὴν τοῦ προδρόμου Σρ, qui nomen Ἀνδρέου om. Ἕτερος κανὼν εἰς τὴν ἀποτομὴν τῆς τιμίας κεφαλῆς τοῦ προδρόμου καὶ βαπτιστοῦ ἰωάννου (f. 175ᵛ) et in margine (f. 176) sigla Ἀνδρέου refert Ha Ἕτερος κανὼν τοῦ αὐτοῦ Pc

heirm. α' EE 229, n. 328, Germani 2 καὶ] τοῦ Σζ 3 παρ' ἐλπίδας Cp Σρ 4 τοὺς πιστοὺς] μυστικῶς Σζ 5 τῇ σεπτῇ Ha μνήμῃ Ha 8 ἀπέτεμε] ἀπέκτεινε Cp Σζ Σρ Ha 9 κήρυκα] μάρτυρα Σζ Σρ Ha τῆς ζωῆς] τοῦ χριστοῦ Σζ 10 μυστικὸν] ἱερὸν Σζ 11 γενεσίων Cp Σζ πλήρης Cp Σρ Ha: cfr. notas ad canonem XXIX(2), 21 13 τὴν μέθην om. Σζ 14 αὐτοῦ Cp 15 πικρία Cp πικρῶς Σρ Ha ἀντεκατέστη Στ Σζ Σρ Ha pro ἀντικατέστη μετετράπη Cp

---

1 cfr. Luc. 1,80

τὸν Ἐμμανουήλ, τὸν δὲ Ἡρώδην ἐλέγξασαν,
ἐν μύροις πνευματικοῖς,
ᾠδαῖς καὶ ὕμνοις τιμῶμεν, Ἰωάννη.

Γῆ δεξαμένη πάναγνον σῶμα
σὺν τῇ τιμίᾳ κεφαλῇ
τούς τε τῶν αἱμάτων ὀχετοὺς τοῦ σοφοῦ Βαπτιστοῦ
κατέχει ὡς θησαυρόν,
ἐν ὀστρακίνοις ταμείοις συντηροῦσα.

Τὸν διελέγξαντα τὸν Ἡρώδην
παρανομοῦντα, ὦ πιστοί,
f. 167 καὶ τὴν ἀποτομὴν τῆς κεφαλῆς ὑπομείναν||τα
ὑμνήσωμεν Βαπτιστήν,
ὡς διὰ ζῆλον Θεοῦ θανατωθέντα.

τριαδ. Τὴν ὑπερούσιον θεαρχίαν
καὶ ὑπεράγαθον ζωήν,
ἄναρχον ἀρχὴν καὶ ὑπεράρχιον σύνεσιν
δοξάσωμεν σὺν πατρὶ
υἱὸν καὶ πνεῦμα, τὴν ἁγίαν τριάδα.

θεοτ. Τὸν ἀπερίγραπτον Θεὸν Λόγον
ὅλον σκηνώσαντα ἐν σοὶ
τέτοκας, ἁγνὴ θεογεννῆτορ, διπλοῦν τὸν αὐτόν,
ὡς ἕνα ὄντα υἱὸν
σεσαρκωμένον ἐκ σοῦ ἀνερμηνεύτως.

ᾠδὴ β'. *Πρόσεχε,*
οὐρανέ, καὶ λαλήσω

Ἐκήρυξε
τὸν ἀμνὸν τοῖς Ἑβραίοις

---

20 ἰωάννην Σρ Ha v. 32 καὶ τρισυπόστατον φύσιν Σζ 33 σύνεσιν] δύναμιν Σζ 34 δοξάζομεν Pc 40 ἀνερμηνεύτως] ἀπεριλήπτως Σρ Ha

ode β' deest in Cp Σζ Σρ Ha Pc

heirm. β' EE 226, n. 324, Germani

41-45 Joh. 1,29.36

ὁ Ζαχαρίου υἱὸς
τὸν ἁμαρτίας τοῦ κόσμου
καθαίροντα τῷ βαπτίσματι.

Ἐτράνωσε
τὴν τοῦ Θεοῦ βασιλείαν
ὁ Ἰωάννης βοῶν·
« μετανοεῖτε· ἰδοὺ γὰρ
ἐγγίζει ἡ σωτηρία ἡμῶν ».

Διήλεγξας
τὸν Ἡρώδην μανέντα
ταῖς τῶν παθῶν ἡδοναῖς,
μεγαλοκῆρυξ προφῆτα,
κωλύων παρανομεῖν εἰς Θεόν.

Οὐκ ἤνεγκε
τοὺς ἐλέγχους Ἡρώδης,
ἀλλ' εἰς θυμὸν ἐκτραπείς,
μεγαλομάρτυς κυρίου,
ὡπλίσθη κατὰ τῆς σῆς κεφαλῆς.

Τὸ αἷμά σου
ὑπὲρ τὸ αἷμα τοῦ Ἄβελ
κράζει, Χριστοῦ βαπτιστά,
καὶ κατὰ γῆς τεθαμμένος,
πρεσβεύεις ὑπὲρ τῶν σῶν ἱκετῶν.

Ὑμνήσωμεν
τὸν θεατὴν τῶν ἀρρήτων
f. 167v || καὶ βαπτιστὴν τοῦ Χριστοῦ,
ὑπὲρ τῆς ἀληθείας
παθόντα, τὸν θεῖον Πρόδρομον.

Τὸν ζῆλόν σου
καὶ τὸν ἰσάγγελον βίον

49-50 Matth. 3,1-2   51-55 Matth. 14,4-5; Marc. 6,18-19   61-63 cfr. Gen. 4,10

πάντες θαυμάζομεν
καὶ τὴν ἁγίαν σου μνήμην
τελοῦμεν, Πρόδρομε, κῆρυξ Χριστοῦ.

εἱρμὸς ἄλλος. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν,
ὁ πρὸ τῶν αἰώνων

Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν,
ὁ τὸν βαπτιστήν μου
ἀναδείξας ζηλωτήν,
τὸν ἐν τῇ δυνάμει Ἠλιοὺ καὶ τῷ πνεύματι
ἐλθόντα ἐν ταῖς ἐρήμοις
καὶ ἐλέγξαντα Ἡρώδην ἀνομήσαντα.

Ἴδετε, ἴδετε,
ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν,
ὁ τὸν βαπτιστήν μου
θωρακίσας νοητῶς,
λόγον ὑπὲρ μάχαιραν τομώτερον δοὺς αὐτῷ
καὶ ζῆλον ὡς θυρεόν μου
καὶ ὡς περικεφαλαίαν παρρησίαν πολλήν.

Δεῦτε θεάσασθε
ποῖα γενέσια ὁ παράνομος
οὗτος ὁ Ἡρώδης
ἐξετέλεσε ποτέ·
ἐν τῷ συμποσίῳ γὰρ ἐν μέσῳ τῶν φίλων αὐτοῦ
τὴν πάνσεπτον Ἰωάννου
εἰσαχθῆναι κεφαλὴν παρεκελεύσατο.

εἱρμὸς ἄλλος (vv. 76-110) deest in Σζ Σρ Ha Pc   heirm. alter ΕΕ 226, n. 323, Germani   87 αὐτὸν cd.   91 ποῖα] οἷα Cp

---

80 Luc. 1,17   82 Matth. 14,4-5; Marc. 6,18-19   87 Hebr. 4,1   94-96 Matth. 14,10-11; Marc. 6,27-28

τριαδ. Ἄναρχε, ἄκτιστε
τριὰς ἀμέριστε, ὁ Θεὸς ἡμῶν,
σὺ ἀγεννησίας
καὶ γεννήσεως ἡμῖν
καὶ τῆς ἐκπορεύσεως τοὺς τρόπους ὑπέφηνας,
πατέρα, υἱὸν καὶ πνεῦμα,
ὑπογράψασα τρανῶς ἐν ταῖς γραφαῖς ἑαυτήν.

θεοτ. Ἕνα δοξάζω σε
f. 168 καὶ μετὰ σάρκωσιν || ἀδιαίρετον
τὸν πρὸ τῶν αἰώνων
ἐκ πατρὸς μονογενῆ,
ἔσχατον δὲ πάλιν ἐκ παρθένου σαρκὶ δι' ἡμᾶς
ἀφύρτως καὶ ἀμερίστως
γεννηθέντα σε υἱὸν ἐν δύο φύσεσιν.

ᾠδὴ γ'. *Οὐκ ἔστιν ἅγιος*
ὡς ὁ κύριος

Ἡ γέννησις ἔνδοξος,
βαπτιστὰ τοῦ Χριστοῦ,
καὶ ὁ βίος σου ἄμωμος,
ἡ πρόοδος ἔντιμος
καὶ ἡ ἀνάδειξις ξένη,
ὁ θάνατος τίμιος
καὶ ἡ ταφὴ σεβάσμιος.

Δακτύλῳ τὸ πρότερον
ὑπεδείκνυς τὸν ἀμνὸν
καὶ τῇ γλώσσῃ τὸ δεύτερον
Ἡρώδην διήλεγξας,
τῇ κεφαλῇ δὲ τὸ τρίτον

ante v. 97 signum τριαδ. om. Στ, qui autem θεοτ. (vv. 104-110) ut τριαδ. perperam indicat 109 καὶ ἀμερίστως] ἀδιαιρέτως Cp

heirm. γ' EE 226, n. 323, Germani 115 καὶ om. Cp Σζ 119 ὑποδεικνὺς Στ ὑποδείξας Σζ

118-119 Joh. 1,29.36 120-121 Matth. 14,4-5; Marc. 6,18-19

πηγάζεις τὰ θαύματα
ἐξ ὀστρακίνου σκεύους ἡμῖν.

Ἡ ἔρημος κράζει σου
τὰς ἀρετάς, Βαπτιστά,
ἡ ἐκκλησία κηρύττει σου
τὸν βίον, τὴν ἄσκησιν,
τὴν πρὸς Θεὸν παρρησίαν,
δι' ἧς τὸν παράνομον
Ἡρώδην κατεδίκασας.

Καὶ πῶς γὰρ οὐκ εἶχέ σου
ὁ Ἡρώδης, Βαπτιστά,
ἐκπλαγῆναι τοῖς ῥήμασι
δι' ὧν αὐτὸν ἤλεγξας
προφανῶς ἀνομοῦντα;
ἑώρα γὰρ τὸν βίον σου
τῷ λόγῳ συναστράπτοντα.

Φρουρᾷ σε κατέκλεισεν,
Ἰωάννη Βαπτιστά,
καὶ δεσμοῖς σε συνέδησε
τὸν ἄπαυστα κράζοντα
τὴν αὐτοῦ ἀσωτείαν
Ἡρώδης ὁ παράνομος
μὴ φέρων τοὺς ἐλέγχους σου.

f. 168v || Νομίμως ἐπλέξατο
ἡ σεπτή σου κεφαλὴ
τῆς ἀφθαρσίας τὸν στέφανον
βαφέντα τοῖς αἵμασι,
Βαπτιστὰ Ἰωάννη·
διὸ καὶ τρανότερον
κηρύττεις τὸν ἀμνὸν τοῦ Θεοῦ.

123 τὰ θαύματα] ἰάματα Σζ 124 ἐν ὀστρακίνω σκεύει Σζ 126 βαπτιστὰ τὰς ἀρετὰς Cp 129 πρὸς Θεὸν] πολλὴν Cp 139 κατέλεισεν Ha 147 τῇ σεπτῇ σου κεφαλῇ Cp 148 τῆς om. Cp 151-152 χριστὸς ὃν ἐκήρυξας / ἔνδοξε ἀμνὸν τοῦ θεοῦ Cp

139-145 Matth. 14,3-5; Marc. 6,17-19 152 cfr. Joh. 1,29.36

τριαδ. Τριὰς ὑπερούσιε
καὶ ὑπέρθεε μονάς,
ἡ ἀκατάληπτος φύσις,
ἡ ἄκτιστος δύναμις,
ἡ ὁμότιμος δόξα,
τὸν κόσμον ἐλέησον
κινδύνων λυτρουμένη ἀεί.

θεοτ. * Θεὸς ὤν, ἐκένωσας
σεαυτόν, μονογενῆ,
ἵνα σώσῃς οὓς ἔπλασας,
δι' οὓς ἐνηνθρώπησας
σαρκωθεὶς ἐκ παρθένου
καὶ ὅλην μου κατήλλαξας
τὴν φύσιν τῷ οἰκείῳ πατρί.

ᾠδὴ δ'. *Ἐξ ὄρους κατασκίου, Λόγε, ὁ προφήτης*

Ἐτράνωσας ἡμῖν Χριστοῦ τὴν βασιλείαν,
ὑπέδειξας λαοῖς ὁδοὺς τῆς μετανοίας
καὶ τὸν Ἡρώδην διήλεγξας ἀνομοῦντα,
μεγαλοκῆρυξ Ἰωάννη σοφέ.

Μὴ φέρων, Βαπτιστά, Ἡρώδης τοὺς ἐλέγχους,
ἐτράπη πρὸς ὀργὴν καὶ φθόνον καὶ πικρίαν
καὶ συνετήρει τὸν χρόνον τῶν γενεσίων,
ἐν ᾧ ἠμύνατό σε, κῆρυξ Χριστοῦ.

---

153 ὁμοούσιε Ha 158 post κόσμον add. σου Σρ Ha v. 159 καὶ κινδύνων λύτρωσαι Cp 160-166 θεοτ. PKA II, 117 161 ἑαυτὸν Cp Pc μονογενῆ] ἀγαθὲ Cp μονογενὲς Pc (vide similia exempla in AHG V, p. 397 v. 198 (app. crit.) et AHG X, p. 286 v. 75; cfr. etiam Psaltes, 152) 163 δι' οὗ Σρ 165 μου κατήλλαξας] καταλλάξας μου Cp Σρ Ha PKA 166 πατρὶ] πνεύματι PKA

heirm. δ' EE 224, n. 321, Joannis 171 Βαπτιστὰ] σου λοιπὸν Cp 172 καὶ φθόνον] καὶ φόνον Cp Σρ Ha θυμόν τε Σζ

160-161 Philip. 2,6-7 168 cfr. Matth. 3,2-3; 8-9 169 Matth. 14,4-5; Marc. 6,18-19

Εἰσάγεται λοιπὸν ἡ πάνσεπτός σου κάρα
ἐν μέσῳ τῶν βροτῶν ὡς ἔδεσμα, προφῆτα,
καὶ συμπληροῖ τὸ συμπόσιον κατηφείας
βασταζομένη ἐπὶ πίνακι.

Εὐφραίνου, Βαπτιστά, σκιρτάτω σου τὸ πνεῦμα·
f. 169 ἐλέγχεις γὰρ ἀεὶ τὸν ἄθεον ‖ Ἡρώδην
καὶ τοῖς ἐν Ἅδῃ κηρύττεις ἅπασι λέγων·
« ἡ σωτηρία ἰδοὺ ἤγγικεν ».

Θαυμάζει σου ἡ γῆ τὸν βίον, Ἰωάννη,
κηρύττει οὐρανὸς τὴν ἄδικον σφαγήν σου
καὶ θριαμβεύει τὰ πλήθη τῶν ἀρετῶν σου
ἡ ἐκκλησία ἀναμέλπουσα.

Ἐπόλισας, προφῆτα κῆρυξ, τὰς ἐρήμους,
ἐνέωσας ψυχὰς ἀνόμους καὶ καρδίας
προεκτεμὼν τῇ ἀξίνῃ τῆς μετανοίας
τὴν ἀκαρπίαν τῶν ψυχῶν ἡμῶν.

τριαδ. Ζωήν σε προσκυνῶ τὸν ἄναρχον πατέρα,
ζωὴν συμπροσκυνῶ τὸν ἄχραντον υἱόν σου,
ζωὴν καὶ ζῶσαν πηγὴν τὸ ἅγιον πνεῦμα
δοξολογῶ, τὴν μίαν ὄντως ζωήν.

θεοτ. Ἐτέχθης ἐκ μητρὸς παρθένου ἀλοχεύτως,
ἐφύλαξας αὐτὴν ἁγνὴν μετὰ τὸν τόκον
ὁ μὴ κατ' ἔκστασιν ὅλην μου τὴν οὐσίαν
ἀναλαβών, τῆς ἁμαρτίας χωρίς.

---

178 βασταζομένη] βαπτιζομένη Ha πίνακος Σζ 180 γὰρ] δὲ Cp ἀεὶ] κακεῖ Cp Ha 181 ἅπασι] πνεύμασι Cp Ha λέγω Στ 182 ἰδοὺ eadem manus scripsit in margine Στ ἰδοὺ] ἡμῶν Cp Ha 188 ἀνόμους] ἀγόνους Cp Σρ Ha 192 συμπροσκυνῶ] σε προσκυνῶ Cp ἄχραντον] ἄχρονον Cp Σζ ἄναρχον Pc σου] τε Cp 193 post πηγὴν add. σε Cp 194 δοξολογῶν Σζ ὄντως ζωὴν] δύναμιν Σζ

175-178 Matth. 14,11; Marc. 6,28 182 Matth. 3,2

ᾠδὴ ε΄. *Ὁ ἐκ νυκτὸς ἀγνοίας*

Τὸ τῆς ἐρήμου θρέμμα
καὶ οἰκουμένης τὸ κτῆμα, ὁ Πρόδρομος,
σήμερον ἑτοιμάζει
τὴν πνευματικὴν πανδαισίαν ἡμῖν.

Τῶν ἡδονῶν οἰκέτην
καὶ τῶν θεσμῶν παραβάτην διήλεγξεν
Ἰωάννης Ἡρώδην,
τὸν Ἡρωδιάδος πικρὸν ἐραστήν.

Ὁ εὐσεβὴς προφήτης
f. 169v τὸν ἀνομοῦντα ‖ Ἡρώδην κατήσχυνεν
ἀκολάστως βιοῦντα
καὶ τὰ Μωυσέως ὑβρίζοντα.

Ἡρωδιὰς ὀρχεῖται
καὶ Ἰωάννης δεσμεῖται καὶ σφάττεται·
ὢ τῆς μέθης Ἡρώδου,
ὢ παρανομίας τῆς τούτου ψυχῆς!

Σοῦ μὲν ἡ γῆ τὸ αἷμα
καὶ ὁ Ἡρώδης τὸ κρῖμα ἐδέξατο,
Ἰησοῦς δὲ τὸ πνεῦμα,
ὁ τῶν πατέρων Θεός, Βαπτιστά.

Ἡ εὐωχία πᾶσα
ἀντ' εὐφροσύνης ὀδύνης πεπλήρωται·

---

heirm. ε΄ EE 226, n. 323, Germani heirm. Ὁ om. Σρ 200 τὸ κτῆμα] τὸ κάλλος Cp τὸ καύχημα Σζ φωστὴρ Pc ὁ om. Σζ 201 σήμερο Cp 202 πανδαισίαν] εὐφροσύνην Cp 204 διήλεγξας Pc 205 ἰωάννη Pc v. 206 τὸ ἡρωδιάδος ἀνδράποδον Σζ 207 εὐσεβείας Σζ 208 κατήσχυνεν] διήλεγξεν Σζ 214 παρανομίας] τῆς παρανόμου Στ τῆς πορνίας Σρ τῆς παροινίας Ha ψυχῆς] τύχης Σρ 216 καὶ ὁ] ὁ δὲ Cp v. 218 καὶ τὸ σῶμα ἔνδοξε πρόδρομε Cp τῶν πατέρων] καὶ τῶν πνευμάτων Ha Pc

---

199 cfr. Luc. 1,80 203-206 Matth. 14,4-5; Marc. 6,18-19

αἵματι γὰρ ἀθῴῳ
ταύτην ὁ Ἡρώδης συνέχεεν.

τριαδ. Φῶς ἀνυμνῶ σε, πάτερ,
φῶς τὸν υἱόν σου δοξάζω καὶ φῶς προσκυνῶ
τὸ πανάγιον πνεῦμα,
ἐν τρισὶν ἡλίοις ἀμέριστον φῶς.

θεοτ. Χαῖρε, τὸ θεῖον ὄρος,
ἐξ οὗ ὁ λίθος ἐτμήθη ἄνευ χειρῶν,
ἡ ἀχράντως παγεῖσα
τῷ Θεῷ καὶ Λόγῳ πανάμωμος σάρξ.

ᾠδὴ ϛ΄. *Ὡς τὸν προφήτην ἐρρύσω*

Ὅταν τοῦ βίου τὸ τέλος
ἐπελθὸν Ἰωάννης προέγνωκε,
δύο πρὸς τὸν κύριον
μαθητὰς ἐξέπεμψε,
διορθούμενος
τὴν σκληροκαρδίαν αὐτῶν.

Τὴν ἐκτομὴν τῆς τιμίας
καὶ πανσέπτου σου κάρας, προφῆτα Χριστοῦ,
τιμῶντες, γεραίρομεν
τὴν σὴν ἀεισέβαστον
καὶ παγκόσμιον
μνήμην, παμμακάριστε.

f. 170 ‖ Ὢ βδελυκτῆς εὐωχίας,
ὢ πικρῶν γενεσίων, ὢ μέθης αἰσχρᾶς!

---

ante v. 223 signum τριαδ. om. Στ 228 ἐξ οὗ] ἐκ σοῦ Σρ ὁ λίθος ἐτμήθη] ἐτμήθη λίθος Σζ ἄνευ] ὁ ἄνευ Cp καὶ ἄνευ Ha Pc

heirm. ϛ΄ EE 226, n. 323, Germani 232 ὑπελθὼν Σρ Ha 234 προέπεμψεν Ha 237 post ἐκτομὴν add. τὴν Cp 239 γεραίρωμεν Στ Σρ 243 βδελυτικῆς Στ

227-228 Dan. 2,34.45 231-234 Matth. 11, 2 ss.

Ἡρώδης ὁ ἄνομος
ἁλοὺς πρὸς παράνοιαν,
ἐλεγχόμενος,
προφητοκτονεῖν μελετᾷ.

Ὡς παρεστῶτα τῷ θρόνῳ
τοῦ Θεοῦ, Ἰωάννη πανεύφημε,
θερμῶς δυσωποῦμέν σε
μνησθῆναι τῆς ποίμνης σου
ταῖς πρεσβείαις σου,
ἵνα συναφθῶμεν Θεῷ.

τριαδ. * Ἕνα Θεόν σε δοξάζω
σὺν πατρὶ τὸν υἱὸν καὶ τὸ πνεῦμα τὸ ζῶν,
τὸν μὲν ὡς προάναρχον,
τὸν δὲ ὡς συνάναρχον,
τὸ δὲ σύνθρονον
ὡς καὶ συναΐδιον.

θεοτ. Ὁ νῦν υἱὸς τῆς παρθένου
πρὶν υἱὸς τοῦ πατρὸς ἀναδέδεικται,
οὐκ ἄλλος νοούμενος
παρὰ τὸν ὁρώμενον,
εἰ καὶ ἔμεινεν
εἷς κατ' ἄμφω τέλειος.

ᾠδὴ ζ'. *Ὁ ἐν ἀρχῇ*
τὴν γῆν θεμελιώσας

Νόμον Θεοῦ
κηρύττων Ἰωάννης,
τὸν δυσσεβῆ
οὐκ ἔπεισεν Ἡρώδην
παρανομοῦντα

v. 254 ἵνα λυτρωθῶμεν φθορᾶς Cp 255-260 τριαδ. AHG I, 81 255 σε om. Pc 256 σὺν υἱῷ τὸν πατέρα καὶ πνεῦμα τὸ ζῶν Pc τὸν πατέρα, Υἱὸν ... AHG 257 τὸν μὲν γὰρ ὡς ἄναρχον AHG τὸν] τὸ Στ Cp 258 τὸν] τὸ Στ Cp Σρ 263 ante νοούμενος add. καὶ Pc

heirm. ζ' EE 226, n. 323, Germani 269 ἀσεβῆ Σζ

σωφρονισθῆναι·
τὸ πῦρ γὰρ ἦν ἐν αὐτῷ
τῆς ἁμαρτίας εἰς νοῦν.

Ὦ κεφαλῆς
τρανῶς νομοθετούσης
καὶ ἐκ τῆς γῆς
« Ἡρώδη, » προσφωνούσης
« οὐκ' ἔξεστί σοι
παρανομοῦντι
τὴν ἁλουργίδα φορεῖν
ὡς τυραννίδος στολήν ».

Ὁ τὸν ἀμνὸν
κηρύξας ἐν τῷ κόσμῳ,
τὸν αἴροντα
ἁμαρτίας τοῦ κόσμου,
f. 170v || αὐτῷ προσήχθης
δεκτὴ θυσία
κηρυχθέντι ὑπὸ σοῦ,
Χριστῷ τῷ μόνῳ Θεῷ.

Τὸν Ἀχαάβ
ἐζήλωσεν Ἡρώδης,
τὸν Ναβουθαὶ
μιμεῖται Ἰωάννης,
Ἡρωδιὰς δὲ
τὴν Ἰεζάβελ
καὶ τὸν Θεσβίτην Ἠλιοὺ
ὁ Χριστοῦ βαπτιστής.

Ὅπλοις αἰσχροῖς
ὁ ἄνομος Ἡρώδης

273 ἐν supra lineam scriptum in Cp 274 εἰς νοῦν] αὐτοῦ Cp Σρ Ha Pc 278 ἡρώδην Cp προσφωνούσης] ἐλεγχούσης Cp 289 ante κηρυχθέντι add. τῷ Σρ Ha 299 Ὅπλον αἰσχρὸν Σζ αἰσχροῖς] ἐχθροῖς Ha

283-286 Joh. 1,29.36 291-298 III Regn. 20,1-29

θωρακισθείς,
μεθ' ὅρκων ἀπεπλήρου
τὴν ἀνομίαν
ἐν εὐωχίᾳ,
τὴν μέθην ἔχων ἐκεῖ
συστρατηγοῦσαν αὐτῷ.

Τίς ἀληθῶς
τιμήσει κατ' ἀξίαν
τὸν ζηλωτὴν
τοῦ νόμου Μωυσέως
καὶ τὸν προφήτην
τῆς ἀληθείας
ἐν ᾠδαῖς πνευματικαῖς
καὶ θείοις ᾄσμασιν;

τριαδ. Ἕνα Θεὸν
δοξάζω τὴν τριάδα,
τὴν ἐν τρισὶ
προσώποις ὑμνουμένην,
μιᾷ δὲ φύσει
καὶ βασιλείᾳ·
πατὴρ γάρ ἐστιν, υἱὸς
καὶ πνεῦμα ἅγιον.

θεοτ. Ἄσαρκος ὤν,
ἀτρέπτως ἐσαρκώθης,
ἄχρονος ὤν,
ἐν χρόνῳ ἐπεγνώσθης
ἐκ τῆς παρθένου
ὁ πάντων κτίστης,
ἀφύρτως μείνας ὃ ἦς
καὶ γεγονὼς ὃ οὐκ ἦς.

---

302 μεθ' ὅρκον Cp μεθ' ὅρκου Σζ ἀνεπλήρου Σζ v. 314 εὐφημήσωμεν Cp 319-320 μίαν δὲ φύσιν / καὶ βασιλείαν Cp Σζ 321 ἐστιν] ἦν καὶ Cp εἷς καὶ Σζ Σρ Ha 324 ἀτρέπτως] δι' ἡμᾶς Σζ 326-330 pro ἐν χρόνῳ ... οὐκ ἦς in Cp legitur: ἐγνώσθης ἐκ παρθένου / ὁ πάντων κτίστης / ἀφύρτως μείνας / ὃ ἦς καὶ γεγονὼς / ὅπερ οὐκ ἦς δι' ἡμᾶς. v. 330 καὶ μετὰ σάρκωσιν Σζ

ᾠδὴ η'. *Τὸν ἐν ὄρει*
ἁγίῳ δοξασθέντα

Ὁ κηρύξας
Χριστοῦ τὴν παρουσίαν
τοῖς ἐν Ἅδῃ
ἐπέστη, ἀναγγέλλων·
« ὁ τὰς ὠδῖνας λύων παραγίνεται
κύριος τῆς δόξης,
ὃν ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας ».

Ἐν φρουρᾷ σε
κατέκλεισεν Ἡρώδης,
Ἰωάννη,
τὸν δεύτερον Ἠλίαν,
f. 171 καὶ σιδη‖ροῖς δεσμοῖς πεδήσας, ἔκτεινε
τὸν τῆς βασιλείας
καὶ τῆς μετανοίας
πιστὸν προϋποφήτην.

Ὢ τραπέζης
αἱμάτων πεπλησμένης,
ὢ βρωμάτων
ἐκ φόνων ἠρτυμένων,
ὢ πανδαισίας πλήρης ματαιότητος,
ὢ ἀπανθρωπίας
καὶ μιαιφονίας
Ἡρώδου τοῦ ἀνόμου!

---

heirm. η' EE 226, n. 323, Germani 334 ἐπέστη] ἐν πίστει Pc 335 ὀδύνας Cp Σρ 338 v. varie detruncant Σρ Στ Ha 343 σηδίροις Σρ 344 βασιλείας] μετανοίας Cp Σρ Ha 345 μετανοίας] βασιλείας Cp Σρ Ha 350 φόνου Σζ Ha 351 πανδαισία Σζ πλήρης Στ Σζ Ha: cfr. PSALTES, 160; MITSAKIS, 121 πλήρους Pc

---

335 cfr. Act. 2,24 339-343 Matth. 14,3; Marc. 6,15-17

Τίς κατεῖδεν
ἐν ὥρᾳ εὐωχίας·
καὶ ἐν μέσῳ
αὐτοῦ τοῦ συμποσίου
νεοσφαγῆ νεκροῦ αἵματα στάζουσαν
καὶ ἔτι ἀλλομένην
κεφαλὴν ὡς βρῶμα
ποτὲ προτιθεμένην;

Ἰωάννη,
ἀπόστολε καὶ μάρτυς
καὶ προφῆτα
καὶ πρόδρομε κυρίου
καὶ βαπτιστὰ καὶ κῆρυξ τοῦ γνωσθέντος σοι
καὶ πρὸ τῶν σπαργάνων,
πρέσβευε ἀπαύστως
ὑπὲρ τῶν ἱκετῶν σου.

Ὡς προφήτην
καὶ μείζονα προφήτου
εὐφημοῦντες,
σωτήρ, τὸν βαπτιστήν σου
καὶ ὡς μεσίτην νόμου καὶ τῆς χάριτος,
αὐτόν σοι εἰς πρεσβείαν
μετὰ τῆς μητρός σου
κινοῦμεν, εὐεργέτα.

τριαδ. Ἅγιος εἶ,
πατὴρ ὁ παντοκράτωρ,
ἅγιος εἶ,
υἱὸς ὁ ἐλεήμων,
ἅγιον εἶ, καὶ πνεῦμα τὸ παράκλητον,
μία ἁγιότης

359 νεοσφαγῆν Στ νεκροῦ αἵματα στάζουσαν] νεκρὰν αἱμάτων στάζουσαν Σζ αἱμάτων ἀποστάζουσαν Pc 360 καὶ om. Pc 362 προτεθειμένην Σζ 370 οἰκετῶν Cp Σζ 373 εὐφημοῦμεν Pc 376 αὐτὸν] ὃν Pc 378 εὐεργέτα] εἰς αἰῶνας Pc 382 ἐλεήμων] σώσας κόσμον Cp Σρ Ha 383 ἅγιος Cp Σζ καὶ] τὸ Cp Σρ Ha

367-368 cfr. Luc. 1,41 371-372 Matth. 11,9; Luc. 7,26

καὶ μία θεότης
καὶ μία βασιλεία.

θεοτ. Ἄνω ὅλος
καὶ κάτω ὅλος, Λόγε,
ἐν τοῖς κόλποις
πατρὸς καὶ τῆς μητρός σου,
ὅλος Θεὸς καὶ ὅλος φύσει ἄνθρωπος,
f. 171v εἷς τῇ ὑπο‖στάσει
καὶ διττὸς τῇ φύσει
ὑπάρχεις, ἐλεῆμον.

ᾠδὴ θ'. *Τὸν προδηλωθέντα ἐν ὄρει τῷ νομοθέτῃ*

Δεύτερος Ἠλίας ἡμῖν ἐδείχθης, προφῆτα,
ὡς ἐν πνεύματι προελθὼν καὶ δυνάμει ἐκείνου
Μωυσέως τε εἰκονίζων τὸ πρᾶον,
τῶν δὲ προφητῶν τὴν ἁγιότητα.

Ὄρχησις καὶ μέθη καὶ ἀνομία καὶ ὅρκοι·
τέσσαρας ὠδίνησεν ἀσεβείας Ἡρῴδης
ἡδονήν τε καὶ ἀσωτείαν καὶ αἶσχος
καὶ τὸ τέλος πάντων, φόνον ἄδικον.

Καρατομηθείς, Ἰωάννη, ὑπὸ Ἡρῴδου
τοῖς ἐν Ἅδῃ πνεύμασιν ἀπεστάλης κηρῦξαι
τὸν ἐρχόμενον καὶ αὐτοὺς σῶσαι πάντας
τοὺς προτελευτήσαντας πιστοὺς ἐξ Ἀδάμ.

Ἔκδεξαι μικρόν, ὦ Ἡρῴδη, καὶ ὄψῃ τότε
ἣν ἀφεῖλες κάραν ἐν συμποσίῳ μεθύων

385 μία καὶ Cp 394 ὑπάρχων Σζ ὑπάρχῃ Pc
heirm. θ' EE 229, n. 328, Germani 395 ἡμῖν ἠλίας Σζ 397 τε εἰκονίζων] προεικονίζων Σζ ἐξεικονίζον Pc 398 τῶν δὲ] καὶ τῶν Cp Σζ 399 Ὄρχησιν καὶ μέθην καὶ ἀνομίαν καὶ ὅρκον Σζ Ὄρχησιν καὶ ὅρκον καὶ ἀνομίαν καὶ μέθην Pc 400 ὠδίνησας Σρ Ha Pc ἀσεβείας] ἁμαρτίας Σζ ἡρώδη Στ Σρ Ha Pc 401 αἶσχος] φόνον Σζ 402 πάντων, φόνον] τούτων σφαγὴν Σζ 403 ἰωάννης Cp 404 ἅδου Στ Cp Σζ Ha ἀπεστάλη Cp 405 καὶ αὐτοὺς] λυτρωτὴν Σζ καὶ αὐτοῦ Ha

395-396 Luc. 1,17 397 Num. 12,3

ἐπὶ βήματος τοῦ κριτοῦ σε τῶν ὅλων
πάλιν διελέγχουσαν ἐν τόλμῃ πολλῇ.

Λύχνος τοῦ φωτὸς καὶ φωνὴ τοῦ Λόγου ὑπάρχων,
κῆρυξ τοῦ ἀμνοῦ τοῦ Θεοῦ καὶ τῆς ἐρήμου θρέμμα,
Ἰωάννη, παρθενομάρτυς κυρίου,
πρέσβευε σωθῆναι τοὺς τιμῶντάς σε.

Σὲ τὸν τοῦ Χριστοῦ πρόδρομον ἐν ὕμνοις τιμῶντες
καὶ τὴν σὴν ἐτήσιον καὶ πανσέβαστον μνήμην
f. 172 διὰ τῆς ‖ σῆς πρὸς αὐτὸν μεσιτείας
ἐκ τῶν δυσχερῶν ἐλευθερούμεθα.

Θρέμματά σου πάντες ἡμεῖς, προφῆτα κυρίου,
καὶ τῆς σῆς ἀγέλης ἄρνες ἐσμέν, ὦ Ἰωάννη,
ἀλλὰ ποίμανον σὺ ἡμᾶς ταῖς εὐχαῖς σου,
σώζων ἐκ κινδύνων τὰς ψυχὰς ἡμῶν.

Ἀγαλλιασώμεθα πάντες καὶ εὐφρανθῶμεν,
ἀλαλάξωμεν τῷ Θεῷ ἐν φωναῖς ἀσιγήτοις,
ὅτι ἄνθρωπος ἐπὶ γῆς τεθαμμένος
βρύει τοῖς πιστοῖς θεοπαρόχους πηγάς.

τριαδ. Φῶτα καὶ ζωὰς καὶ ζωὴν καὶ φῶς τὴν τριάδα,
ἅγια καὶ ἅγιον καὶ πηγὴν ἀφθαρσίας,
τρία ἄναρχα ἐν μιᾷ θεαρχίᾳ
δόξῃ καὶ τιμῇ συμπροσκυνήσωμεν.

θεοτ. Μόνη γυναικῶν μετὰ τόκον ὤφθης παρθένος,
μόνη γυναικῶν σὺ θεογεννήτωρ ἐδείχθης,
μόνη ἔλυσας τῶν ὠδίνων τὴν Εὔαν
καὶ τῆς πρωτογόνου ὑπεξῆρας ἀρᾶς.

---

412 τοῦ Θεοῦ] καὶ θεοῦ Pc 414 τοὺς τιμοῦντας σε Στ τὰς ψυχὰς ἡμῶν Cp τοὺς ὑμνοῦντας σε Pc 419 ἡμεῖς] ἐσμὲν Cp 420 ἐσμέν, ὦ Ἰωάννη,] πιστοὶ ὑπάρχομεν πάντες Cp v. 422 σώζων μετὰ τέκνων τὸν πατέρα ἡμῶν Cp σῶζε ἐκ ... Σζ 427 ζωὴ Ha καὶ φῶς] ὑμνῶ Cp 428 ἅγιον καὶ ἅγια Σζ ἁγία καὶ ἅγιον Σρ 430 δόξαν καὶ τιμὴν Στ συμπροσκυνούμενα Cp 432 θεογεννῆτορ Στ Cp Σζ Ha Pc 434 ὑφεξῆρας Στ Pc

---

411 Joh. 5,35; cfr. 1,14-15 412 cfr. Joh. 1,29.36; Luc. 1,80 423 Cant. 1,4; Ps. 117,24 423-424 Ps. 94,1

29 AUG. *CANON* XXIX (2)

IN DECOLLATIONEM SANCTI JOANNIS BAPTISTAE

Canon secundum traditionem Crypt. Δ.α. XII = Cp, ff. 146v-151

Ὁ κανών· 〈Ἀνδρέου.〉

Ἦχος πλ. δ′.

ᾠδὴ α′. *Τῷ ἐκτινάξαντι ἐν θαλάσσῃ*

Τὸ τῆς ἐρήμου κάλλιστον θρέμμα
f. 147 .... = Στ 1-5

Ἀναδεικνύμενος Ἰωάννης
πρὸς τὸν λαὸν τοῦ Ἰσραήλ,
ὥσπερ καὶ Λουκᾶς προδιαγράφει, ἀνέκραζε·
« ποιήσατε νῦν καρποὺς
ἀξιοχρέους », φησί, « τῆς μετανοίας ».

Ἀλλ᾽ ὁ Ἡρώδης τούτων ἀκούσας
τῶν θεογράφων ἐννοιῶν,
ἔθηγε τὸν νοῦν καὶ τοὺς ὀδόντας, ζητῶν ἀνελεῖν
τὸν κήρυκα τῆς ζωῆς
καὶ τῶν ἐλέγχων πιστὸν ἱεροφάντην.

---

tit. tantum Ὁ κανὼν ed., qui nomen auctoris om.
heirm. α′ EE 229, n. 328, Germani; textum heirm. posterior manus in margine complevit 8 προδιαγράφων Σρ Ha Pc ἀνέκραγεν Pc 9-10 pro ποιήσατε ... μετανοίας in Σρ Ha Pc legitur: ὑπέδειξεν τὴν ὁδὸν / τῆς βασιλείας διὰ τῆς μετανοίας 12 θεηγόρων Pc 13 ἔθηπε Pc

---

9-10 Matth. 3,8-9; Luc. 3,8

16-20 Τὴν τοῦ Ἡρώδου μιαιφονίαν
.... = Στ 6-10

21-25 Ὦ γενεσίου πλήρης αἱμάτων,
.... = Στ 11-15

τριαδ. Μονὰς τῇ φύσει ἡ παναγία
πέλει τριὰς ἡ τριλαμπής,
ἐν δὲ τοῖς προσώποις τὸ τρισσὸν καθορᾶται αὐτῆς,
Θεὸς ὁ ἀληθινός,
ὑφ' οὗ παρήχθη εἰς γένεσιν τὰ πάντα.

θεοτ. Ἄσυλον πύργον ἔχει σε πᾶσα,
θεογεννῆτορ, ἡ κτίσις
διὰ τὸν ἐκ σοῦ ὑπερφυῶς γεννηθέντα σαρκί·
διό σοι κράζει ἀεί·
« χαῖρε, ἡ πάντων χαρὰ καὶ σωτηρία ».

ᾠδὴ β'. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν,
ὁ πρὸ τῶν αἰώνων

36-42 Ἴδετε, ἴδετε
.... = Στ 76-82

43-49 Δεῦτε θεάσασθε
.... = Στ 90-96

Ἄδικε, ἄνομε,
τίς ὁ κινήσας σε ὅρκοις τάξασθαι
τῇ Ἡρωδιάδι
τὴν τιμίαν κεφαλὴν

---

21 γενεσίων Cp Σζ πλήρης Cp Σρ Ha: cfr. PSALTES, 160; MITSAKIS, 121 πλήρους Στ Σζ
ode β' deest in Σζ Σρ Ha Pc
heirm. β' ΕΕ 226, n. 323, Germani

50-56 cfr. Matth. 14,6-9; Marc. 6,22-25

f. 147v τοῦ κατὰ τὸν νόμον σε ‖ Μωσέως ἐλέγξαντος;
τὰ μέλη τὰ λελυμένα
τῆς ἀσέμνως ἐπὶ σοὶ ὀρχησαμένης παιδός;

Εἴθε μὴ ὤμοσας,
Ἡρώδη ἄνομε, ψεύδους ἔκγονε,
εἴθε δὲ ὀμόσας
μὴ εὐώρκησας, δεινέ·
κρεῖσσον γὰρ ψευσάμενον κριθῆναί σε ψεύστην κακῶν
ἢ οὕτως ἐπαληθεῦσαι
ἐπὶ φόνῳ βαπτιστοῦ καὶ προφήτου Θεοῦ.

Ἴδε, ἐπλήρωσας
τὴν εὐωχίαν σου ἀθῴου αἵματος,
ἄνομε Ἡρώδη·
τίς γὰρ εἶδεν ἐπὶ γῆς
ἀντὶ ἐδεσμάτων ἐπὶ πίνακι τοῖς φιλευτοῖς
αἵμασι πεφυρμένην
κεφαλὴν νεοσφαγῆ προτιθεμένην ποτέ;

τριαδ. 71-77 Ἄναρχε, ἄκτιστε
.... = Στ 97-103

θεοτ. 78-84 Ἕνα δοξάζω σε
.... = Στ 104-110

ᾠδὴ γ'. *Οὐκ ἔστιν ἅγιος*
ὡς ὁ κύριος

« Οὐ μείζων ἐγήγερται
ἐν γεννητοῖς γυναικῶν
Ἰωάννου » ἀνέκραξε
Χριστὸς ἡ ἀλήθεια·

---

60 εὐόρκησας ed.: cfr. MITSAKIS, 53-54
heirm. γ' ΕΕ 226, n. 323, Germani 85 Μείζων οὐκ Σζ Σρ Ha Pc
86 ἐν om. Cp 87 προέκραζε Σζ Σρ προέκραξεν Ha ἀνέκραζε Pc

85-88 Matth. 11,11; Luc. 7,28

ἐν γαστρὶ γὰρ ἐπέγνω
τὸ κτίσμα τὸν κτίσαντα,
κράξαν τῇ μητρῴᾳ φωνῇ.

92-98 Ἡ γέννησις ἔνδοξος,
.... = Στ 111-117

99-105 Δακτύλῳ τὸ πρότερον
.... = Στ 118-124

106-112 Ἡ ἔρημος κράζει σου
.... = Στ 125-131

f. 148 113-119 ‖ Νομίμως ἐπλέξατο
.... = Στ 146-152

τριαδ. 120-126 Τριὰς ὑπερούσιε
.... = Στ 153-159

θεοτ. 127-133 * Θεὸς ὤν, ἐκένωσας
.... = Στ 160-166

Κάθισμα.

Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ Λόγου*

Ἐκ τῆς στείρας ἐκλάμψας
....

ᾠδὴ δ'. *Ἐξ ὄρους κατασκίου, Λόγε, ὁ προφήτης*

134-137 Ἐπόλισας, προφῆτα κῆρυξ, τὰς ἐρήμους,
.... = Στ 187-190

---

89 ἐν γαστρὶ] πρὸ γαστρὸς Cp Σζ Σρ Ha   γὰρ] σε Cp   γὰρ om. Σζ
91 versus desideratur in Σζ   κράξαν τῇ] κηρύξαν τὴν Σρ κηρύξαντα Ha Pc   μητρόαν φωνὴν Σρ   120 ὁμοούσιε Ha

κάθ. MR VI, 530; idem, om. in Σρ, ante canonem Στ (f. 159) et Ha (f. 171) praebent

heirm. δ' EE 224, n. 321, Joannis; textum heirm. recentior manus in margine complevit

---

89-90 Luc. 1,41-45

138-141 Μὴ φέρων σου λοιπὸν Ἡρώδης τοὺς ἐλέγχους,
.... = Στ 171-174

Ἐπέστη ὁ καιρὸς τῶν τούτου γενεσίων,
ὠρχήσατο ἡ παῖς καὶ ἤρεσεν Ἡρώδῃ
καὶ ἐξωμόσατο ταύτῃ πάντα διδόναι
ὅσα ἂν αὕτη ἐξαιτήσῃ αὐτῷ.

Τοὺς ὅρκους δέ, φησί, φοβούμενος Ἡρώδης,
προσέταξεν εὐθὺς τῷ ξίφει ἐκκοπεῖσαν
τὴν κεφαλὴν τοῦ Προδρόμου τῷ κορασίῳ
ἀποδοθῆναι ἐπὶ πίνακι.

150-153 Εὐφραίνου, Βαπτιστά, σκιρτάτω σου τὸ πνεῦμα·
f. 148v .... = Στ 179-182

τριαδ. 154-157 Ζωήν σε προσκυνῶ τὸν ἄναρχον πατέρα,
.... = Στ 191-194

θεοτ. 158-161 Ἐτέχθης ἐκ μητρὸς παρθένου ἀλοχεύτως,
.... = Στ 195-198

ᾠδὴ ε'. *Ὁ ἐκ νυκτὸς ἀγνοίας*

162-165 Τὸ τῆς ἐρήμου θρέμμα
.... = Στ 199-202

166-169 Ὁ εὐσεβὴς προφήτης
.... = Στ 207-210

170-173 Ἡρωδιὰς ὀρχεῖται
.... = Στ 211-214

---

138 σου λοιπὸν] βαπτιστὰ Στ Σζ Σρ Ha Pc   143 ὀρχήσατο Σζ Σρ Ha
144 ἐξωμόσατο] ἐξωμόσα Σρ   145 ἂν] περ Σζ   αὕτη scripsi: ταύτῃ Cp τότε Σζ   εἴποι Σρ Ha   ἐξαιτήσοιτο Σζ ἐξετήσαι Σρ ἐξαιτοῦσα Ha   αὐτῷ om. Σζ αὐτὸν Σρ Ha   147 ἐκκοπῆναι Σζ   148 τῷ κορασίῳ] καὶ ἐπιδοῦναι Σζ
149 ἀποδοθῆναι] τῶ κορασίω Σζ

heirm. ε' EE 226, n. 323, Germani; textum heirm. alia manus in margine complevit   166 εὐσεβείας Σζ

142-145 Matth. 14,6-7; Marc. 6,21-23   146-149 Matth. 14,9-12; Marc. 6,26-28

174-177 Ἡ εὐωχία πᾶσα

.... = Στ 219-222

178-181 Σοῦ μὲν ἡ γῆ τὸ αἷμα

.... = Στ 215-218

τριαδ. 182-185 Φῶς ἀνυμνῶ σε, πάτερ,

.... = Στ 223-226

θεοτ. 186-189 Χαῖρε, τὸ θεῖον ὄρος,

.... = Στ 227-230

ᾠδὴ ς΄. *Ὡς τὸν προφήτην ἐρρύσω*

190-195 Τὴν ἐκτομὴν τῆς τιμίας

.... = Στ 237-242

196-201 Ὦ βδελυκτῆς εὐωχίας,

.... = Στ 243-248

Ὀρχησαμένη ἡ νέα
Αἰγυπτία ἐν μέσῳ τοῦ πότου αἰσχρῶς,
f. 149 || τὴν κάραν ἠτήσατο
τοῦ ταύτης ἐλέγξαντος
τὴν γεννήτριαν
καὶ τὴν τοῦ Ἡρώδου εὐνήν.

Τὴν εὐωχίαν αἱμάτων
ὁ Ἡρώδης πληρώσας, ἐξέμηνε·
θυμῷ γὰρ τῷ ἄφρονι
τὴν μέθην παρέμιξε
καὶ ὠδίνησε
δύο ἀνομίας πικράς.

214-219 Ὡς παρεστῶτα τῷ θρόνῳ

.... = Στ 249-254

---

heirm. ς΄ EE 226, n. 323, Germani; textum heirm. recentior manus in margine complevit 190 post ἐκτομὴν add. τὴν Cp 196 βδελυτικῆς Στ 205 ταύτην ΣΖ 211 παρέμιξε] παρώξυνε ΣΖ Ha 212 ὠδίνησε] ἀπέτεκε ΣΖ Ha

---

202-207 Matth. 14,6-9; Marc. 6,22-25

τριαδ. 220-225 Ἕνα Θεόν σε δοξάζω

.... = Στ 255-260

θεοτ. 226-231 Ὁ νῦν υἱὸς τῆς παρθένου

.... = Στ 261-266

Κοντάκιον.

Ἦχος πλ. α΄.

Ἡ τοῦ Προδρόμου ἔνδοξος ἀποτομὴ

....

⟨Οἱ οἶκοι.⟩

Τὰ γενέσια τὰ τοῦ Ἡρώδου

....

f. 149v Οὐκ ἀνέμεινε γὰρ ὁ Ἡρώδης

....

Ἀψευδὴς ὁ λόγος τῆς σοφίας

....

Νικηθεὶς ὁ ἄναξ τοῖς ἐπαίνοις

....

f. 150 Οὕτως ἔδει λέξαι τὴν παιδίσκην

....

Υἱὲ τοῦ ὄντως ἱερέως,

....

ᾠδὴ ζ΄. *Ὁ ἐν ἀρχῇ*
τὴν γῆν θεμελιώσας

232-239 Νόμον Θεοῦ

.... = Στ 267-274

240-247 Ὦ κεφαλῆς

.... = Στ 275-282

κοντάκ. et οἶκ. PAS I, 178-185; κοντάκ. et primum οἶκ., om. in Σρ, ante canonem Στ (f. 159v) et Ha (ff. 171-171v) referunt
heirm. ζ΄ EE 226, n. 323, Germani

248-255 Ὅπλοις αἰσχροῖς
.... = Στ 299-306

Τί οὐ ναρκᾷς,
παράνομε Ἡρώδη,
φιληδονῶν
καὶ πράττων ἃ μὴ θέμις,
ἢ πῶς οὐ φρίττεις
τοῖς τοῦ προφήτου
ἐλέγχοις ἀντιμετρῶν
μιαιφονίαν πικράν;

264-271 Τίς ἀληθῶς
.... = Στ 307-314

τριαδ. 272-279 Ἕνα Θεὸν
f. 150v
.... = Στ 315-322

θεοτ. 280-287 Ἄσαρκος ὤν,
.... = Στ 323-330

ᾠδὴ η΄. *Τὸν ἐν ὄρει*
ἁγίῳ δοξασθέντα

288-295 Ὁ κηρύξας
.... = Στ 331-338

296-303 Ἐν φρουρᾷ σε
.... = Στ 339-346

Γενεσίων
Ἡρώδου ἀγομένων,
τῆς ἀσέμνου
παιδὸς ὀρχησαμένης,
προβιβασθεῖσα ὑπὸ τῆς μητρὸς αὐτῆς
λοιπὸν ἐξαιτεῖται
τὴν τοῦ Βαπτιστοῦ
κεφαλὴν ἀναισχυντοῦσα.

---

248 Ὅπλον αἰσχρὸν Σζ αἰσχροῖς] ἐχθροῖς Ha
heirm. η΄ EE 226, n. 323, Germani 307 ἡ παῖς ὀρχησαμένη Σρ Ha
308 προεβιβάσθη Σρ Ha 311 ἀναισχυντοῦσα] ἐν πινακίῳ Σρ Ha

304-311 Matth. 14,6-9; Marc. 6,21-25

Ναβουθαὶ μὲν
ἐκτάνθη διὰ φθόνον,
Ἠλιοὺ δὲ
ἀδίκως ἐδιώχθη
καὶ Ἰωάννης νῦν ἀνόμως σφάττεται
ὑπὲρ εὐνομίας
ὑπὸ τῆς Ἡρώδου
πικρᾶς μιαιφονίας.

320-327 Ἰωάννη,
.... = Στ 363-370

τριαδ. 328-335 Ἅγιος εἶ,
.... = Στ 379-386

θεοτ. 336-343 Ἄνω ὅλος
.... = Στ 387-394

ᾠδὴ θ΄. *Τὸν προδηλωθέντα ἐν ὄρει τῷ νομοθέτῃ*

* Δεῦτε θεασώμεθα τοῦ Προδρόμου τὴν κάραν
ἐπὶ πίνακι αἵματα ἀποστάζουσαν πάλαι
f. 151 καὶ ‖ ὑπὸ τράπεζαν νῦν πηγάζουσαν πᾶσιν
ἀξιομνημόνευτα τεράστια.

348-351 Δεύτερος Ἠλίας ἡμῖν ἐδείχθης, προφῆτα,
.... = Στ 395-398

352-355 Καρατομηθεὶς Ἰωάννης ὑπὸ Ἡρώδου
.... = Στ 403-406

356-359 Λύχνος τοῦ φωτὸς καὶ φωνὴ τοῦ Λόγου ὑπάρχων,
.... = Στ 411-414

360-363 Θρέμματά σου πάντες ἐσμέν, προφῆτα κυρίου,
.... = Στ 419-422

τριαδ. 364-367 Φῶτα καὶ ζωὰς καὶ ζωὴν ὑμνῶ τὴν τριάδα,
.... = Στ 427-430

θεοτ. 368-371 Μόνη γυναικῶν μετὰ τόκον ὤφθης παρθένος,
.... = Στ 431-434

---

heirm. θ΄ EE 229, n. 328, Germani; textum heirm. posterior manus in margine complevit 344-347 troparium AHG VI, 382 346 ὑπὸ τράπεζαν δὲ βρύουσαν ἄρτι AHG 348 ἡμῖν ἠλίας Σζ 352 ἰωάννη Στ Σζ Ha 360 ἐσμὲν] ἡμεῖς Στ Σζ 364 ὑμνῶ] καὶ φῶς Στ Σζ Σρ Ha

---

312-313 III Regn. 20,13-14 314-315 III Regn. 19,1 ss.

29 AUG. *CANON* XXIX (3)

IN DECOLLATIONEM SANCTI JOANNIS BAPTISTAE

Canon secundum traditionem Sinait. gr. 639 = Σζ, ff. 443-448ᵛ

Ὁ κανών· ποίημα Ἀνδρέου Κρήτης.

Ἦχος πλ. δ'. *Τῷ ἐκτινάξαντι ἐν θαλάσσῃ*

1-5 Τὸ τῆς ἐρήμου κάλλιστον θρέμμα
.... = Στ 1-5

Ὁ τῷ δακτύλῳ προϋποδείξας
σὲ τὸν ποιμένα καὶ ἀμνὸν
νῦν ἐκ τῶν τῆς γῆς καταχθονίων μεγάλῃ φωνῇ
κηρύττει σου, Ἰησοῦ,
τὴν βασιλείαν καὶ τὴν οἰκονομίαν.

Ἡ ἐν ἐρήμοις κράζουσα πάλαι
φωνὴ βοῶντος κεφαλὴ
σήμερον Ἡρώδῃ τοὺς ἐλέγχους προφέρουσα
ἐκτέμνεται δολερῶς
καὶ μοιχαλίδι ὡς ἔπαθλον δωρεῖται.

16-20 Τὴν τοῦ Ἡρώδου μιαιφονίαν
.... = Στ 6-10

Σζ, alternatis odis, duos canones praebet: priorem (ff. 442ᵛ-448) in Decollationem sancti Joannis Baptistae (inc. Τὸν ἀπὸ νηδύος στειρωτικῆς) MR VI,531, alterum quem referimus
tit. Ἕτερος κανὼν ποίημα ἀνδρέου κρήτης
heirm. α' EE 229, n. 328, Germani

6-7 Joh. 1,29.36   11-12 Is. 40,3; Matth. 3,3; Marc. 1,3; Luc. 3,4; Joh. 1,23   13-15 Matth. 14,4-12; Marc. 6,18-28

21-25 Ὦ γενεσίου πλήρους αἱμάτων,
.... = Στ 11-15

